nor the cold nor other of-these anything having-believed
οὔτε λυμαίνεσθαι οὔτε προσδέεσθαι οὐδενὸς τουτέων τὸν
either to-harm or to-need anything of-these the
ἄνθρωπον, ἀλλὰ τὸ ἰσχυρὸν ἑκάστου καὶ τὸ κρέσσον
man but the strong-part of-each and the stronger-than
τῆς φύσιος τῆς ἀνθρωπίνης· οὗ μὴ ἠδύνατο κρατέειν,
the nature the human which not could to-master

τοῦτο βλάπτειν ἡγήσαντο, καὶ τοῦτο ἐζήτησαν ἀφελέειν.
this to-harm they-believed and this they-sought to-take-away
Ἰσχυρότατον δέ ἐστι τοῦ μὲν γλυκέος τὸ γλυκύτατον, τοῦ δὲ
Strongest and is of-the indeed sweet the sweetest of-the and
πικροῦ τὸ πικρότατον, τοῦ δὲ ὀξέος τὸ ὀξύτατον, ἑκάστου δὲ
bitter the bitterest of-the and acid the most-acid of-each and
πάντων τῶν ἐόντων ἡ ἀκμή· ταῦτα γὰρ ἑώρων καὶ τῷ
all of-the things-that-are the peak these-things for they-saw both in-the
ἀνθρώπῳ ἐνεόντα καὶ λυμαινόμενα τὸν ἄνθρωπον. Ἔνι
man being-present and harming the man There-is-in
γὰρ ἀνθρώπῳ καὶ πικρὸν καὶ ἁλμυρὸν, καὶ γλυκὺ καὶ ὀξὺ, καὶ
for a-man both bitter and salt and sweet and acid and
στρυφνὸν καὶ πλαδαρὸν, καὶ ἄλλα μυρία, παντοίας δυνάμιας
astringent and insipid and others countless of-all-kinds powers
ἔχοντα, πλῆθός τε καὶ ἰσχύν. Ταῦτα μὲν μεμιγμένα καὶ
having in-quantity both and in-strength These indeed mixed and
κεκρημένα ἀλλήλοισιν οὔτε φανερά ἐστιν, οὔτε λυπέει τὸν
blended with-one-another neither manifest are nor pain the
ἄνθρωπον· ὅταν δέ τι τουτέων ἀποκριθῇ, καὶ αὐτὸ ἐφ' ἑωυτοῦ
man when but any of-these is-separated and itself by itself
γένηται, τότε καὶ φανερόν ἐστι καὶ λυπέει τὸν ἄνθρωπον.
becomes then both manifest it-is and pains the man
Τοῦτο δὲ, τῶν βρωμάτων ὅσα ἡμῖν ἀνεπιτήδειά ἐστι
This and of-the foods as-many-as for-us unsuitable are
καὶ λυμαίνεται τὸν ἄνθρωπον ἐμπεσόντα, τουτέων ἕκαστον
and harm the man having-fallen-in of-these each
ἢ πικρόν τι καὶ ἄκρητόν ἔστιν, ἢ ἁλμυρὸν ἢ
either bitter something and unmixed is or salt or
ὀξὺ, ἢ ἄλλο τι ἄκρητόν τε καὶ ἰσχυρὸν, καὶ διὰ
acid or other something unmixed both and strong and because-of
τοῦτο ταρασσόμεθα ὑπ' αὐτέων, ὥσπερ καὶ ὑπὸ τῶν ἐν
this we-are-disturbed by them just-as also by the in

τῷ σώματι ἀποκρινομένων. Πάντα δὲ ὅσα ἄνθρωπος
the body being-separated All but as-many-as a-man
ἐσθίει ἢ πίνει, τὰ τοιαῦτα βρώματα ἥκιστα τουτέου χυμοῦ
eats or drinks the such foods least of-this humor
ἀκρήτου τε καὶ διαφέροντος δῆλα ἔσται μετέχοντα, οἷον
unmixed both and differing clearly will-be partaking such-as
ἄρτος τε καὶ μᾶζα καὶ τὰ ἑπόμενα τουτέοισιν οἷσιν
bread both and barley-cake and the-things following these which
εἴθισται ὥνθρωπος πλείστοισί τε καὶ αἰεὶ χρέεσθαι,
is-accustomed the-man most both and always to-use
ἔξω τῶν πρὸς ἡδονήν τε καὶ κόρον ἠρτυμένων τε καὶ
outside-of those for pleasure both and satiety seasoned both and
ἐσκευασμένων· καὶ ἀπὸ τουτέων πλείστων ἐσιόντων ἐς
prepared and from these most entering into
τὸν ἄνθρωπον ταραχή τε καὶ ἀπόκρισις τῶν ἀμφὶ τὸ
the man disturbance both and separation of-the about the
σῶμα δυναμίων ἥκιστα γίνεται, ἰσχὺς δὲ, καὶ αὔξησις,
body powers least comes-about strength but and growth
καὶ τροφὴ μάλιστα, δι' οὐδὲν ἕτερον γίνεται, ἢ ὅτι
and nourishment most because-of nothing other comes-about than that
εὖ τε ξυγκέκρηται, καὶ οὐδὲν ἔχει ἄκρητον, οὐδὲ ἰσχυρὸν,
well both it-has-been-blended and nothing has unmixed nor strong
ἀλλ' ὅλον ἕν τε γέγονε καὶ ἁπλόον καὶ μὴ ἰσχυρόν.
but whole one both has-become and simple and not strong
15 Ἀπορέω δ' ἔγωγε, οἱ τὸν λόγον ἐκεῖνον λέγοντες, καὶ
Am-at-a-loss and I those the argument that saying and
ἀπάγοντες ἐκ ταύτης τῆς ὁδοῦ ἐπὶ ὑπόθεσιν τὴν τέχνην,
leading-away from this the way to a-postulate the art
τίνα ποτὲ τρόπον θεραπεύσουσι τοὺς ἀνθρώπους, ὥσπερ
in-what ever manner they-will-treat the men as
ὑποτίθενται. Οὐ γάρ ἐστιν αὐτέοισιν, ὡς ἐγὼ οἶμαι,
they-postulate Not for is for-them as I think

ἐξευρημένον αὐτό τι ἐφ᾽ ἑωυτοῦ θερμὸν, ἢ ψυχρὸν, ἢ
discovered itself something by itself hot or cold or
ξηρὸν, ἢ ὑγρὸν, μηδενὶ ἄλλῳ εἴδεϊ κοινωνέον, ἀλλ᾽ οἶμαι
dry or moist with-no other form sharing but I-think
ἔγωγε ταῦτα πόματα καὶ βρώματα αὐτέοισιν ὑπάρχειν
I the-same drinks and foods to-them to-be-available
οἷσι πάντες χρεόμεθα. Προστιθέασι δὲ τῷ μὲν εἶναι
which all we-use They-attribute but to-the-one indeed to-be
θερμῷ, τῷ δὲ ψυχρῷ, τῷ δὲ ξηρῷ, τῷ δὲ
hot to-the-other and cold to-the-other and dry to-the-other and
ὑγρῷ. Ἐπεὶ ἐκεῖνό γε ἄπορον προστάξαι τῷ κάμνοντι,
moist Since that at-least impossible to-order the sick-man
θερμόν τι προσενέγκασθαι· εὐθὺς γὰρ ἐρωτήσει, τί
hot something to-take at-once for he-will-ask what
ἐστιν; ὥστε ληρέειν ἀνάγκη, ἢ ἐς τουτέων τι τῶν
it-is so-that to-talk-nonsense necessity or to of-these something of-the
γινωσκομένων καταφεύγειν. Εἰ δὲ δὴ τυγχάνει τὸ μὲν
known-things to-take-refuge If and indeed happens the-one indeed
θερμὸν ἐὸν στριφνὸν, ἄλλο δὲ θερμὸν ἐὸν πλαδαρὸν, ἄλλο
hot being astringent another but hot being insipid another
δὲ θερμὸν, ἄραδον ἔχον (ἔστι γὰρ καὶ ἄλλα πολλὰ θερμὰ
but hot disturbance having there-are for also others many hot-things
καὶ ἄλλας πολλὰς δυνάμιας ὑπεναντίας ἑωυτοῖσιν ἔχοντα),
and other many powers opposite to-themselves having
δεήσει δέ τι αὐτέων προσενεγκεῖν, ἢ τὸ θερμὸν
it-will-be-needed and something of-them to-give either the hot
καὶ στριφνὸν, ἢ τὸ θερμὸν καὶ πλαδαρὸν, ἢ ἅμα τὸ
and astringent or the hot and insipid or together the
ψυχρὸν καὶ στριφνὸν (ἔστι γὰρ καὶ τοῦτο), καὶ τὸ ψυχρόν
cold and astringent is for also this and the cold
τε καὶ πλαδαρόν· ὡς μὲν γὰρ ἔγωγε οἶδα, πᾶν τοὐναντίον
both and insipid as indeed for I know wholly the-opposite

ἀφ᾽ ἑκατέρου αὐτέων ἀποβαίνει, καὶ οὐ μόνον ἐν ἀνθρώπῳ,
from each of-them results and not only in a-man
ἀλλὰ καὶ ἐν σκύτεϊ καὶ ἐν ξύλῳ καὶ ἐν ἄλλοισι πολλοῖσιν
but also in leather and in wood and in other many-things
ἅ ἐστιν ἀνθρώπου ἀναισθητότερα· οὐ γὰρ τὸ θερμόν ἐστι
which are than-a-man less-sensitive not for the hot is
τὸ τὴν μεγάλην δύναμιν ἔχον, ἀλλὰ τὸ στρυφνὸν καὶ
the-thing the great power having but the astringent and
τὸ πλαδαρὸν, καὶ τἆλλα ὅσα μοι εἴρηται, καὶ ἐν
the insipid and the-other-things as-many-as by-me have-been-spoken both in
τῷ ἀνθρώπῳ, καὶ ἔξω τοῦ ἀνθρώπου, καὶ ἐσθιόμενα καὶ
the man and outside of-the man both eaten and
πινόμενα καὶ ἔξωθεν ἐπιχριόμενά τε καί πως πλασσόμενα.
drunk and from-outside smeared-on both and somehow plastered-on

16 Ψυχρότητα δ᾽ ἔγωγε καὶ θερμότητα πασέων ἥκιστα τῶν
Coldness but I and heat of-all least of-the
δυναμίων νομίζω δυναστεύειν ἐν τῷ σώματι διὰ τάσδε
powers think to-hold-power in the body because-of these
τὰς προφάσιας· ὧν μὲν ἂν δήπου χρόνον μεμιγμένα
the causes what indeed — surely time mixed
αὐτὰ αὐτέοισιν, ἅμα τὸ ψυχρόν τε καὶ θερμὸν ἔῃ, οὐ
themselves with-themselves together the cold both and hot are not
λυπέει· κρῆσις γὰρ καὶ μετριότης τῷ μὲν ψυχρῷ γίνεται
pains blending for and moderation to-the indeed cold comes
ἀπὸ τοῦ θερμοῦ, τῷ δὲ θερμῷ ἀπὸ τοῦ ψυχροῦ· ὅταν
from the hot to-the and hot from the cold when
δὲ ἀποκριθείη χωρὶς ἑκάτερον, τότε λυπέει· ἐν δὲ δὴ
but it-be-separated apart each then it-pains in but indeed
τουτέῳ τῷ καιρῷ, ὅταν τὸ ψυχρὸν ἐπιγένηται καί τι
this the moment when the cold comes-on and somewhat
λυπήσῃ τὸν ἄνθρωπον, διὰ ταχέος πρῶτον δι᾽ αὐτὸ
pains the man through quickness first because-of itself

τοῦτο πάρεστι τὸ θερμὸν αὐτόθεν ἐκ τοῦ ἀνθρώπου,
this is-present the hot from-the-spot out-of the man
οὐδεμιῆς βοηθείης οὐδὲ παρασκευῆς δεόμενον· καὶ ταῦτα
no help nor preparation needing and these-things
καὶ ἐν ὑγιαίνουσι τοῖσιν ἀνθρώποισιν ἀπεργάζεται, καὶ ἐν
both in healthy the men it-effects and in
κάμνουσιν. Τοῦτο μὲν, εἴ τις θέλει ὑγιαίνων χειμῶνος
sick-ones This indeed if anyone wishes being-healthy in-winter
διαψῦξαι τὸ σῶμα, ἢ λουσάμενος ψυχρῷ, ἢ ἄλλῳ τῳ
to-chill-thoroughly the body either having-bathed in-cold or in-another some
τρόπῳ, ὅσῳ ἂν αὐτὸ ἐπιπλέον ποιήσῃ, καὶ ἤν γε μὴ
way the-more — it the-further he-does and if at-least not
παντάπασι παγῇ τὸ σῶμα, ὅταν εἵματα λάβῃ καὶ ἔλθῃ ἐς
altogether is-frozen the body when clothes he-takes and comes into
τὴν σκέπην, μᾶλλον καὶ ἐπὶ πλέον θερμαίνεται τὸ σῶμα.
the shelter more and to more is-warmed the body
Τοῦτο δὲ, εἰ θέλοι ἐκθερμανθῆναι στερεῶς ἢ λουτρῷ
This and if he-should-wish to-be-heated firmly either by-a-bath
θερμῷ, ἢ πολλῷ πυρὶ, ἐκ δὲ τουτέου τὸ αὐτὸ εἶμα
hot or by-much fire from and this the same garment
ἔχων ἐν τῷ αὐτέῳ χωρίῳ τὴν διατριβὴν ποιέεσθαι, ὥσπερ
having in the same place the stay to-make as-if
διεψυγμένος, πολὺ φανεῖται καὶ ψυχρότερος καὶ ἄλλως
chilled much he-will-appear and colder and otherwise
φρικαλεώτερος. Εἰ ῥιπιζόμενός τις ὑπὸ πνίγεος καὶ
more-shivery If fanned anyone by stifling-heat and
παρασκευαζόμενος αὐτὸς ἑωυτῷ ψύχος ἐκ τοιούτου ἂν
preparing himself for-himself cool from such —
τρόπου, διαπαύσαιτο τοῦτο ποιέων, δεκαπλάσιον ἔσται τὸ
manner should-leave-off this doing tenfold will-be the
καῦμα καὶ τὸ πνῖγος ἢ τῷ μηδὲν τουτέων ποιέοντι.
burning and the stifling-heat than for-the-one nothing of-these doing

Τὰ δὲ δὴ καὶ πουλὺ μείζω, ὅσοι ἂν διὰ χιόνος ἢ
The but indeed also much greater-things as-many-as — through snow or
ἄλλης ψύξιος βαδίσαντες ῥιγώσωσι διαφερόντως πόδας, ἢ
other cold having-walked are-chilled exceedingly feet or
χεῖρας, ἢ κεφαλὴν, οἷα πάσχουσιν ἐς τὴν νύκτα, ὅταν
hands or head what-things they-suffer into the night when
περισταλέωσί τε καὶ ἐν ἀλέῃ γένωνται, ὑπὸ καύματος καὶ
they-are-wrapped-up both and in warmth they-come by burning and
κνησμοῦ· καὶ ἔστιν οἷσι φλυκταῖναι ἀνίστανται ὡς ἀπὸ
by-itching and there-are for-whom blisters rise-up as from
πυρὸς κατακεκαυμένοισι· καὶ οὐ πρότερον τοῦτο πάσχουσιν
fire for-those-burned and not before this they-suffer
πρὶν ἢ θερμανθῶσιν. Οὕτως ἑτοίμως ἑκάτερον αὐτέων ἐπὶ
than — they-are-warmed So readily each of-them to
θάτερα παραγίνεται. Μυρία δ' ἂν καὶ ἕτερα ἔχοιμι εἰπεῖν.
the-other comes-over Countless and — also others I-could to-say
Τὰ δὲ κατὰ τοὺς νοσέοντας, οὐχ οἷσιν ἂν ῥῖγος
The-things but among the sick not for-whom — a-chill
γένηται, τουτέοισιν ὀξύτατος ὁ πυρετὸς ἐκλάμπει; καὶ οὐχ
comes-about for-these most-acute the fever flares-up and not
οὕτως ἰσχυρῶς, ἀλλὰ καὶ παυόμενος, δι' ὀλίγου, καὶ
so strongly but also ceasing through little and
ἄλλως τὰ πολλὰ ἀσινής· καὶ ὅσον ἂν χρόνον παρέῃ,
otherwise for-the most-part harmless and as-much-as — time it-is-present
διάθερμος, καὶ διεξιὼν διὰ παντὸς, τελευτᾷ ἐς τοὺς
hot-through and going-through through all ends in the
πόδας μάλιστα, οὗπερ τὸ ῥῖγος καὶ ἡ ψύξις νενικωτάτη
feet most where the chill and the cold most-vigorous
καὶ ἐπὶ πλέον ἐχρόνισεν· πάλιν δὲ ὅταν ἱδρώσῃ καὶ
and for longer lingered again but when he-sweats and
ἀπαλλαγῇ ὁ πυρετὸς, πολὺ μᾶλλον ἔψυξεν ἢ εἰ μὴ
is-freed the fever much more it-cooled than if not

ἔλαβε τὴν ἀρχήν. Ὧ οὖν διαταχέος οὕτω παραγίνεται
it-had-taken the beginning To-whom then quickly so comes-over
τὸ ἐναντιώτατόν τε καὶ ἀφελόμενον τὴν δύναμιν ἀπὸ
the most-opposite both and taking-away the power from
ταυτομάτου, τί ἂν ἀπὸ τουτέου μέγα ἢ δεινὸν γένοιτο;
of-itself what — from this great or terrible could-come
ἢ τίνος δεῖ πολλῆς ἐπὶ τουτέῳ βοηθείης;
or of-what is-there-need much for this help

V · THE HUMORS CONCOCTED

Fever does not come from heat alone: the same humor is hot and bitter, hot and acid, or hot and salt, and these powers do the harm, the heat only sharing their strength. A cold in the head stops burning when its acrid discharge is concocted and thickened, and so with the fluxes of eyes and throat. Yellow bile brings nausea and burning until it is purged, and acid humors gnaw until they are mixed. Concoction passes through many forms, so crises and the numbers of days matter; a man is best disposed when no power shows on its own.

Εἴποι ἄν τις, ἀλλ' οἱ πυρεταίνοντες τοῖσι καύσοισί τε 17
Might-say — someone but those having-fever with-the ardent-fevers both
καὶ περιπλευμονίῃσι καὶ ἄλλοισιν ἰσχυροῖσι νουσήμασιν οὐ
and pneumonias and other strong diseases not
ταχέως ἐκ τῆς θερμῆς ἀπαλλάσσονται, οὐδὲ πάρεστιν
quickly out-of the heat are-freed nor is-present
ἐνταῦθα ἔτι τὸ θερμὸν ἢ τὸ ψυχρόν. Ἐγὼ δὲ τοῦτό μοι
there still the hot or the cold I but this to-me
μέγιστον τεκμήριον ἡγεῦμαι εἶναι, ὅτι οὐ διὰ τὸ θερμὸν
greatest proof believe to-be that not because-of the hot
ἁπλῶς πυρεταίνουσιν οἱ ἄνθρωποι, οὐδὲ τοῦτο εἴη τὸ
simply have-fever the men nor this would-be the

αἴτιον τῆς κακώσιος μοῦνον, ἀλλ᾽ ἔστι καὶ πικρὸν καὶ
cause of-the harm alone but there-is both bitter and
θερμὸν τὸ αὐτὸ, καὶ θερμὸν καὶ ὀξὺ, καὶ ἁλμυρὸν καὶ
hot the same and hot and acid and salt and
θερμὸν, καὶ ἄλλα μυρία, καὶ πάλιν γε ψυχρὸν μετὰ
hot and others countless and again at-least cold with
δυνάμιων ἑτέρων. Τὰ μὲν οὖν λυμαινόμενα ταῦτά ἐστι·
powers other The-things indeed then harming these-things are
ξυμπάρεστι δὲ καὶ τὸ θερμὸν, ῥώμης μετέχον, ὡς ἂν τὸ
is-present-together and also the hot strength sharing as — the-thing
ἡγεύμενον καὶ παροξυνόμενον καὶ αὐξανόμενον ἅμα
leading and being-aggravated and increasing together-with
κείνῳ, δύναμιν δὲ οὐδεμίην πλείω τῆς προσηκούσης.
that power but no greater than-the proper

18 Δῆλα δὲ ταῦτα ὅτι ὧδε ἔχει ἐπὶ τῶνδε τῶν σημείων·
Clear and these-things that so it-is from these the signs
πρῶτον μέν ἐστι φανερώτατα ὧν πάντες ἔμπειροι
first indeed are most-manifest-things of-which all experienced
πολλάκις ἤδη ἐσμέν τε καὶ ἐσόμεθα. Τοῦτο μὲν, ὅσοισιν
often already we-are both and will-be This indeed for-whomever
ἂν ἡμέων κόρυζα ἐγγένηται καὶ ῥεῦμα κινηθῇ διὰ
— of-us a-cold occurs and flux is-set-moving through
τῶν ῥινέων, τοῦτο ὡς πολὺ δριμύτερον τοῦ πρότερον
the nostrils this as for-the-most more-acrid than-the before
γινομένου τε καὶ ἰόντος ἐκ τῶν ῥινέων καθ᾽ ἑκάστην
coming-about both and going from the nostrils by each
ἡμέρην, καὶ οἰδέειν μὲν ποιέει τὴν ῥῖνα, καὶ ξυγκαίει
day and to-swell indeed makes the nose and burns
θερμήν τε καὶ διάπυρον ἐσχάτως· ἢν δὲ τὴν χεῖρα
hot both and fiery to-the-utmost if but the hand
προσφέρῃς καὶ πλείω χρόνον παρέῃ, καὶ ἐξελκοῦται τὸ
you-put-to and more time it-is-present also is-ulcerated the

χωρίον, ἄσαρκόν τε καὶ σκληρὸν ἐόν. Παύεται δέ πως
place fleshless both and hard being Ceases and somehow
τό γε καῦμα ἐκ τῆς ῥινὸς, οὐχ ὅταν τὸ ῥεῦμα γίνηται
the at-least burning from the nose not when the flux comes-about
καὶ ἡ φλεγμονὴ ἔῃ· ἀλλ᾽ ἐπειδὰν παχύτερόν τε καὶ
and the inflammation is but when thicker both and
ἧσσον δριμὺ ῥέῃ πέπον τε καὶ μεμιγμένον μᾶλλον τῷ
less acrid it-flows ripe both and mixed more with-the
πρότερον γινομένῳ, τότ᾽ ἤδη καὶ τὸ καῦμα πέπαυται· ἀλλ᾽
before coming-about then now also the burning has-ceased but
οἷσι δὲ ὑπὸ ψύχεος φανερῶς αὐτέου μούνου γίνεται,
for-whom and by cold manifestly of-it alone it-comes-about
μηδενὸς ἄλλου ξυμπαραγενομένου, πᾶσιν αὕτη ἡ ἀπαλλαγὴ,
of-nothing other accompanying for-all this the release
ἐκ μὲν τῆς ψύξιος διαθερμανθῆναι, ἐκ δὲ τοῦ καύματος
from indeed the cold to-be-warmed-through from and the burning
διαψυχθῆναι, καὶ ταῦτα ταχέως παραγίνεται καὶ πέψιος
to-be-cooled-through and these-things quickly come-about and concoction
οὐδεμιῆς προσδέεται. Τὰ δ᾽ ἄλλα πάντα ὅσα διὰ
no need-in-addition The but other all-things as-many-as because-of
χυμῶν δριμύτητας καὶ ἀκρησίας φημὶ ἔγωγε γίνεσθαι,
of-humors acridities and unmixednesses I-say I to-come-about
τὸν αὐτὸν τρόπον ἀποκαθίσταται κρηθέντα καὶ πεφθέντα.
the same manner are-restored blended and concocted
Ὅσα τ᾽ αὖ ἐπὶ τοὺς ὀφθαλμοὺς τρέπεται τῶν 19
As-many-as and again to the eyes turn of-the
ῥευμάτων, ὡς ἰσχυρὰς καὶ παντοίας δριμύτητας ἔχοντα,
fluxes as strong and of-all-kinds acridities having
ἑλκοῖ μὲν βλέφαρα, κατεσθίει δὲ ἐνίων γνάθους τε καὶ
ulcerate indeed eyelids eat-away and of-some cheeks both and
τὰ ὑπὸ τοῖσιν ὀφθαλμοῖσιν, ἐφ᾽ ὅ τι ἂν ἐπιρρυῇ,
the-parts under the eyes on what — — it-flows-onto

ῥήγνυσί τε καὶ διεσθίει τὸν ἀμφὶ τὴν ὄψιν χιτῶνα. Ὀδύναι
it-breaks both and eats-through the about the sight membrane Pains
δὲ καὶ καῦμα καὶ φλογμὸς ἔσχατος κατέχει μέχρι τινὸς,
but and burning and inflammation utmost hold until some-point
μέχρις ἂν τὰ ῥεύματα πεφθῇ καὶ γένηται παχύτερα, καὶ
until — the fluxes are-concocted and become thicker and
λήμη ἀπ᾽ αὐτέων ἴῃ· τὸ δὲ πεφθῆναι γίνεται ἐκ τοῦ
rheum from them goes the and to-be-concocted comes-about from the
μιχθῆναι, κρηθῆναί τε ἀλλήλοισι καὶ ξυνεψηθῆναι. Τοῦτο
to-be-mixed to-be-blended both with-one-another and to-be-boiled-together This
δ᾽, ὅσα ἐς τὴν φάρυγγα ἀφ᾽ ὧν βράγχοι γίνονται,
and as-many-as into the throat from which hoarsenesses come-about
κυνάγκαι, ἐρυσιπέλατα, περιπλευμονίαι, πάντα ταῦτα τὸ
quinsies erysipelases pneumonias all these-things the
μὲν πρῶτον ἁλμυρά τε καὶ ὑγρὰ καὶ δριμέα ἀφίει· καὶ ἐν
indeed first salty both and moist and acrid discharge and in
τοῖσι τουτέοισιν ἔρρωται τὰ νουσήματα. Ὅταν δὲ παχύτερα
the these are-strong the diseases When but thicker
καὶ πεπαίτερα γένηται καὶ πάσης δριμύτητος ἀπηλλαγμένα,
and riper they-become and of-all acridity freed
τότ᾽ ἤδη καὶ οἱ πυρετοὶ λύονται καὶ τἆλλα τὰ λυπέοντα
then now both the fevers are-resolved and the-other-things the paining
τὸν ἄνθρωπον· Δεῖ δὲ δήπου ταῦτα αἴτια ἑκάστου
the man One-must and surely these-things causes of-each
ἡγέεσθαι, ὧν παρεόντων μὲν τοιοῦτον τρόπον ἀνάγκη
to-believe of-which being-present indeed such manner necessity
γίνεσθαι, μεταβαλλόντων δὲ ἐς ἄλλην κρῆσιν παύεσθαι.
to-come-about changing but into another blend to-cease
Ὁκόσα οὖν ἀπὸ αὐτέης τῆς θερμῆς εἰλικρινέος ἢ ψύξιος
As-many-as then from the-very the heat pure or cold
γίνηται, καὶ μὴ μετέχῃ ἄλλης δυνάμιος μηδεμιῆς, οὕτω
come-about and not share-in other power any so

παύοιτ᾽ ἂν, ὅταν μεταβάλλῃ ἐκ τοῦ ψυχροῦ ἐς τὸ θερμὸν,
would-cease — when it-changes from the cold to the hot
καὶ ἐκ τοῦ θερμοῦ ἐς τὸ ψυχρόν· μεταβάλλει δ᾽ ὅν
and from the hot to the cold it-changes and which
μοι προείρηται τρόπον. Ἔτι τοίνυν τἄλλα ὅσα
by-me has-been-said-before manner Further therefore the-other-things as-many-as
κακοπαθέει ἄνθρωπος, πάντα ἀπὸ δυνάμιων γίνεται. Τοῦτο
suffers a-man all from powers come-about This
μὲν, ὅταν πικρότης τις ἀποχυθῇ, ἣν δὴ χολὴν ξανθὴν
indeed when bitterness some is-poured-out which indeed bile yellow
καλέομεν, οἷαι ἄσαι καὶ καῦμα καὶ ἀδυναμίαι κατέχουσιν·
we-call such-as nauseas and burning and powerlessnesses hold
ἀπαλλασσόμενοί τε τουτέου ἐνίοτε καὶ καθαιρόμενοι, ἢ
being-freed both of-this sometimes and being-purged either
αὐτόματοι, ἢ ὑπὸ φαρμάκου, ἢν ἐν καιρῷ τι αὐτέων γένηται,
spontaneously or by drug if in season any of-them comes-about
φανερῶς καὶ τῶν πόνων καὶ τῆς θερμῆς ἀπαλλάσσονται·
manifestly both of-the pains and of-the heat they-are-freed
ὅσον δ᾽ αὖ χρόνον ταῦτα μετέωρα ἔῃ καὶ ἄπεπτα καὶ
as-long but again time these-things aloft are and unconcocted and
ἄκρητα, μηχανὴ οὐδεμίη οὔτε τῶν πόνων παύσασθαι οὔτε
unmixed contrivance none either of-the pains to-stop or
τῶν πυρετῶν. Καὶ οἷσι μὲν ὀξύτητες προσίστανται δριμεῖαί
of-the fevers And for-whom indeed acidities attach acrid
τε καὶ ἰώδεες, οἷαι λύσσαι, καὶ δήξιες σπλάγχνων καὶ
both and rusty such-as madnesses and gnawings of-bowels and
θώρηκος, καὶ ἀπορίη· οὐ παύεται τουτέου πρότερον πρὶν ἢ
of-chest and distress not ceases this before than —
ἀποκαθαρθῇ τε καὶ καταστορεσθῇ, καὶ μιχθῇ τοῖσιν ἄλλοισιν.
it-is-purged both and is-settled and is-mixed with-the others

Πέσσεσθαι δὲ καὶ μεταβάλλειν καὶ λεπτύνεσθαι καὶ
To-be-concocted but and to-change and to-be-thinned and
παχύνεσθαι, ἐς χυμῶν εἶδος διὰ πολλῶν εἰδέων καὶ
to-be-thickened into of-humors form through many forms and
παντοίων· διὸ καὶ αἱ κρίσιες καὶ οἱ ἀριθμοὶ τῶν χρόνων ἐν
of-all-kinds therefore also the crises and the numbers of-the times in
τοῖσι τουτέοισι μέγα δύνανται. Πάντων δὴ τουτέων ἥκιστα
the these much have-power Of-all indeed these least
προσήκει θερμῷ ἢ ψυχρῷ πάσχειν· οὔτε γὰρ ἂν τοῦτό γε
befits by-hot or by-cold to-suffer neither for — this at-least
σαπῇ, οὔτε παχυνθῇ. Τί δ' ἂν αὐτὸ φαίημεν εἶναι;
would-putrefy nor would-thicken What and — it would-we-say to-be
Κρήσιας αὐτέων, ἄλλην πρὸς ἄλληλα ἐχούσας δύναμιν.
Blends of-them other toward one-another having power
Ἐπεὶ ἄλλῳ γε οὐδενὶ τὸ θερμὸν μιχθὲν παύσεται τῆς
Since by-other at-least nothing the hot mixed will-cease of-the
θέρμης ἢ τῷ ψυχρῷ, οὐδέ γε πάλιν τὸ ψυχρὸν ἢ τῷ
heat than by-the cold nor at-least again the cold than by-the
θερμῷ. Τὰ δ' ἄλλα πάντα περὶ τὸν ἄνθρωπον, ὅσῳ
hot The-things but other all about the man by-as-much-as
ἂν πλέοσι μίσγηται, τοσούτῳ ἠπιώτερα καὶ βελτίονα.
— with-more it-is-mixed by-so-much milder and better
Πάντων δὲ ἄριστα διάκειται ὥνθρωπος, ὅταν πέσσηται
Of-all but best is-disposed the-man when is-concocted
καὶ ἐν ἡσυχίῃ ἔῃ, μηδεμίην δύναμιν ἰδίην ἀποδεικνύμενος.
and in rest is no power own displaying
Περὶ μὲν οὖν τουτέων ἱκανῶς μοι ἡγεῦμαι ἐπιδεδεῖχθαι.
About indeed then these-things sufficiently by-me I-believe to-have-been-shown

Some physicians and sophists say medicine needs knowing what man is, an argument tending to philosophy like Empedocles'; he holds that such writing belongs more to painting, and that only medicine gives clear knowledge of nature. A physician must know how a man stands to each food, drink, and habit: cheese harms some men and not others, and many physicians blame a relapse on whatever new thing was done that day, a bath or a walk. Ills come from powers and from shapes; a hollow organ narrowing from broad, like a cupping glass, draws moisture most, and the dense liver suffers most from wind. Sweet humor turns first to acid, the least suitable, and the best lies farthest from the unsuitable.

Λέγουσι δέ τινες καὶ ἰητροὶ καὶ σοφισταὶ ὡς οὐκ ἔνι δυνατὸν 20
Say and some both physicians and sophists that not it-is possible
ἰητρικὴν εἰδέναι ὅστις μὴ οἶδεν ὅ τί ἐστιν ἄνθρωπος· ἀλλὰ
medicine to-know whoever not knows what — is a-man but
τοῦτο δεῖ καταμαθεῖν τὸν μέλλοντα ὀρθῶς θεραπεύσειν
this one-must to-learn the-one going rightly to-treat
τοὺς ἀνθρώπους. Τείνει δὲ αὐτέοισιν ὁ λόγος ἐς
the men Tends and their the argument to
φιλοσοφίην, καθάπερ Ἐμπεδοκλῆς ἢ ἄλλοι οἳ περὶ φύσιος
philosophy just-as Empedocles or others who about nature
γεγράφασιν ἐξ ἀρχῆς ὅ τί ἐστιν ἄνθρωπος, καὶ ὅπως
have-written from beginning what — is a-man and how
ἐγένετο πρῶτον καὶ ὅπως ξυνεπάγη. Ἐγὼ δὲ τουτέων
he-came-about first and how he-was-compacted I but of-these
μὲν ὅσα τινὶ εἴρηται σοφιστῇ ἢ ἰητρῷ, ἢ γέγραπται
indeed as-many-as by-some have-been-said sophist or physician or have-been-written
περὶ φύσιος, ἧσσον νομίζω τῇ ἰητρικῇ τέχνῃ προσήκειν
about nature less I-think to-the medical art to-belong
ἢ τῇ γραφικῇ. Νομίζω δὲ περὶ φύσιος γνῶναί τι
than to-the painting I-think and about nature to-know something

σαφὲς οὐδαμόθεν ἄλλοθεν εἶναι ἢ ἐξ ἰητρικῆς. Τοῦτο δὲ,
clear from-nowhere else to-be than from medicine This and
οἷόν τε καταμαθεῖν, ὅταν αὐτέην τις τὴν ἰητρικὴν ὀρθῶς
possible — to-learn when itself anyone the medicine rightly
πᾶσαν περιλάβῃ· μέχρι δὲ τουτέου πολλοῦ μοι δοκέει δεῖν·
whole embraces until and this much to-me seems to-lack
λέγω δὲ τὴν ἱστορίην ταύτην εἰδέναι ἄνθρωπος τί ἐστι,
I-mean and the inquiry this to-know man what he-is
καὶ δι᾽ οἵας αἰτίας γίνεται, καὶ τἆλλα ἀκριβέως.
and because-of what causes he-comes-about and the-other-things exactly
Ἐπεί τοί γέ μοι δοκέει ἀναγκαῖον εἶναι παντὶ ἰητρῷ
Since surely at-least to-me seems necessary to-be for-every physician
περὶ φύσιος εἰδέναι, καὶ πάνυ σπουδάσαι ὡς εἴσεται, εἴπερ
about nature to-know and very to-be-zealous how he-will-know if-indeed
τι μέλλει τῶν δεόντων ποιήσειν, ὅ τί ἐστιν ἄνθρωπος
anything he-is-going of-the needful-things to-do what — is a-man
πρὸς τὰ ἐσθιόμενα καὶ πινόμενα, καὶ ὅ τι πρὸς
in-relation-to the things-eaten and drunk and what — in-relation-to
τὰ ἄλλα ἐπιτηδεύματα, καὶ ὅ τι ἀφ᾽ ἑκάστου ἑκάστῳ
the other practices and what — from each to-each
ξυμβήσεται. Καὶ μὴ ἁπλῶς οὕτω δοκέειν ὅτι πονηρὸν βρῶμα
will-result And not simply so to-think that bad food
τυρός· πόνον γὰρ φέρει τῷ πληρωθέντι αὐτέου, ἀλλὰ
cheese pain for brings to-the-one filled with-it but
τίνα τε πόνον καὶ διὰ τί καὶ τίνι τῶν ἐν τῷ ἀνθρώπῳ
what both pain and because-of what and to-which of-the in the man
ἐνεόντων ἀνεπιτήδειον. Ἔστι γὰρ καὶ ἄλλα πολλὰ βρώματα
being-present unsuitable There-are for also other many foods
καὶ πόματα φύσει πονηρὰ, καὶ διατίθησι τὸν ἄνθρωπον οὐ
and drinks by-nature bad and dispose the man not
τὸν αὐτὸν τρόπον. Οὕτως οὖν μοι ἔστω τῷ λόγῳ οἷον
the same manner So then to-me let-it-be for-the argument such-as

οἶνος ἄκρητος πολὺς ποθεὶς, διατίθησί πως τὸν ἄνθρωπον
wine unmixed much drunk disposes somehow the man
ἀσθενέα· καὶ ἅπαντες ἂν ἰδόντες τοῦτο γνοίησαν, ὅτι αὕτη
weak and all — having-seen this would-know that this
ἡ δύναμις οἴνου καὶ αὐτός ἐστιν αἴτιος· καὶ οἷσί γε
the power of-wine and itself is cause and to-which at-least
τῶν ἐν τῷ ἀνθρώπῳ τοῦτο μάλιστά γε δύναται, οἴδαμεν.
of-the in the man this most at-least has-power we-know
Τοιαύτην δὴ βούλομαι ἀληθείην καὶ περὶ τῶν ἄλλων
Such indeed I-wish truth also about the others
φανῆναι. Τυρὸς γὰρ, ἐπειδὴ τουτέῳ σημείῳ ἐχρησάμην, οὐ
to-appear Cheese for since this as-sign I-used not
πάντας ἀνθρώπους ὁμοίως λυμαίνεται, ἀλλ' εἰσὶν οἵτινες
all men alike harms but there-are some-who
αὐτέου πληρεύμενοι οὐδ' ὁτιοῦν βλάπτονται· ἀλλὰ καὶ
of-it filled not-even anything are-harmed but also
ἰσχὺν, οἷσιν ἂν ξυμφέρῃ, θαυμασίως παρέχεται· εἰσὶ
strength to-whom — it-benefits wonderfully it-provides there-are
δὲ οἳ χαλεπῶς ἀπαλλάσσουσι· διαφέρουσι δὲ τουτέων αἱ
and who hard get-off differ and of-these the
φύσιες· διαφέρουσι δὲ κατὰ τοῦτο· ὅπερ ἐν τῷ σώματι
natures differ and in this which in the body
ἔνεστι πολέμιον τυρῷ, ὑπὸ τοιουτέου ἐγείρεταί τε καὶ
is-in hostile to-cheese by such is-roused both and
κινέεται· οἷσιν ὁ τοιοῦτος χυμὸς τυγχάνει πλέον ἐνεὼν
is-set-moving in-whom the such humor happens more being-in
καὶ μᾶλλον ἐνδυναστεύων ἐν τῷ σώματι, τουτέους μᾶλλον
and more holding-power in the body these more
καὶ κακοπαθέειν εἰκός. Εἰ δὲ πάσῃ τῇ ἀνθρωπίνῃ φύσει
also to-suffer is-likely If and to-all the human nature

ἦν κακὸν, πάντας ἂν ἐλυμαίνετο. Ταῦτα δὲ εἴ τις
it-were bad all — it-would-harm These-things and if anyone
εἰδοίη, οὐκ ἂν πάσχοι.
should-know not — he-would-suffer

21 Τὰ δ' ἐν τῇσιν ἀνακομιδῇσι τῇσιν ἐκ τῶν νούσων,
The-things and in the recoveries the from the diseases
ἔτι δὲ καὶ ἐν τῇσι νούσοισι τῇσι μακρῇσι γίνονται
further and also in the diseases the long come-about
πολλαὶ ξυνταράξιες, αἱ μὲν ἀπὸ ταυτομάτου, αἱ
many disturbances the-ones indeed from of-itself the-others
δὲ καὶ ἀπὸ τῶν προσενεχθέντων τῶν τυχόντων. Οἶδα
but also from the things-taken-in the chance-ones I-know
δὲ τοὺς ἰητροὺς τοὺς πολλοὺς, ὡς τοὺς ἰδιώτας, ἢν
and the physicians the many like the laymen if
τύχωσι περὶ τὴν ἡμέρην ταύτην τι κεκαινουργηκότες,
they-happen about the day this something having-innovated
ὡς λουσάμενοι, ἢ περιπατήσαντες, ἢ φαγόντες τι
such-as having-bathed or having-walked or having-eaten something
ἑτεροῖον, ταῦτα δὲ πάντα βελτίω προσενηνεγμένα ἢ
different these-things but all better taken-in or
μὴ, οὐδενὸς ἧσσον τὴν αἰτίην τουτέων τινὶ ἀνατιθέντας,
not no less the cause of-these to-some attributing
τὸ μὲν αἴτιον ἀγνοεῦντας, τὸ δὲ ξυμφορώτατον, ἢν
the indeed cause not-knowing the-thing and most-beneficial if
οὕτω τύχῃ, ἀφανίσαντας. Δεῖ δὲ οὔ· ἀλλ' εἰδέναι τί
so it-happens having-done-away-with One-must but not but to-know what
λουτρὸν ἀκαίρως προσγενόμενον ἐργάσεται, καὶ τί κόπος.
a-bath untimely added will-do and what fatigue
Οὐδέποτε γὰρ ἡ αὐτὴ κακοπαθίη τουτέων, οὐδ' ἑτέρου,
Never for the same suffering of-these nor of-the-other
οὐδέ γε ἀπὸ πληρώσιος, οὐδέ γε ἀπὸ βρώματος
nor at-least from repletion nor at-least from food

τοίου ἢ τοίου. Ὅστις οὖν ταῦτα μὴ εἴσεται ὡς ἕκαστα
such or such Whoever then these-things not will-know how each
ἔχει πρὸς τὸν ἄνθρωπον, οὔτε γινώσκειν τὰ γινόμενα ἀπ᾽
stands toward the man neither to-recognize the consequences from
αὐτέων δυνήσεται, οὔτε χρέεσθαι ὀρθῶς.
them will-be-able nor to-use rightly
Δεῖν δέ μοι δοκέει καὶ ταῦτ᾽ εἰδέναι, ὅσα τῷ 22
To-be-necessary and to-me seems also these-things to-know as-many-as to-the
ἀνθρώπῳ παθήματα ἀπὸ δυνάμιων ἔρχεται, καὶ ὅσα
man sufferings from powers come and as-many-as
ἀπὸ σχημάτων. Λέγω δὲ τί τοῦτο; Δύναμιν μὲν εἶναι
from structures I-mean but what this Power indeed to-be
τῶν χυμῶν τὰς ἀκρότητάς τε καὶ ἰσχῦς· σχήματα δὲ
of-the humors the intensities both and strengths structures but
λέγω ὅσα ἔνεστιν ἐν τῷ ἀνθρώπῳ. Τὰ μὲν γὰρ
I-mean as-many-as are-in in the man The-ones indeed for
κοῖλά τε καὶ ἐξ εὐρέος ἐς στενόν ἐστι συνηγμένα, τὰ
hollow both and from broad into narrow are drawn-together the-others
δὲ καὶ ἐκπεπταμένα, τὰ δὲ στερεά τε καὶ στρογγύλα,
and also spread-out the-others and solid both and round
τὰ δὲ πλατέα καὶ ἐπικρεμάμενα, τὰ δὲ διατεταμένα,
the-others and flat and hanging the-others and stretched
τὰ δὲ μακρὰ, τὰ δὲ πυκνὰ, τὰ δὲ μανά τε καὶ
the-others and long the-others and dense the-others and loose both and
τεθηλότα, τὰ δὲ σπογγοειδέα καὶ ἀραιά. Τοῦτο μὲν,
swollen the-others and spongy and porous This indeed
ἑλκύσαι ἐφ᾽ ἑωυτὸ καὶ ἐπισπάσασθαι ὑγρότητα ἐκ τοῦ
to-draw to itself and to-attract moisture from the
ἄλλου σώματος, πότερον τὰ κοῖλά τε καὶ ἐκπεπταμένα, ἢ
other body whether the hollow both and spread-out or
τὰ στερεά τε καὶ στρογγύλα, ἢ τὰ κοῖλά τε καὶ ἐς στενὸν
the solid both and round or the hollow both and into narrow

ἐξ εὐρέος συνηγμένα, δύναιτ' ἂν μάλιστα; Οἶμαι μέντοι τὰ
from broad drawn-together could — most I-think however the
τοιαῦτα ἐς στενὸν συνηγμένα ἐκ κοίλου τε καὶ εὐρέος.
such into narrow drawn-together from hollow both and broad
Καταμανθάνειν δὲ δεῖ αὐτὰ ἔξωθεν ἐκ τῶν φανερῶν.
To-learn and one-must them from-outside from the manifest-things
Τοῦτο μὲν γὰρ, τῷ στόματι κεχηνὼς ὑγρὸν οὐδὲν
This indeed for with-the mouth gaping liquid nothing
ἀνασπάσαις· προμυλλήνας δὲ καὶ συστείλας, πιέσας τε τὰ
you-would-draw-up pouting but and contracting pressing both the
χείλεα, ἔτι τε αὐλὸν προσθέμενος, ῥηϊδίως ἀνασπάσαις ἂν
lips further and a-pipe applying easily you-would-draw-up —
ὅ τι θέλοις. Τοῦτο δὲ, αἱ σικύαι προσβαλλόμεναι ἐξ
what — you-wish This and the cupping-glasses applied from
εὐρέος ἐς στενώτερον ἐστενωμέναι πρὸς τοῦτο τετεχνέαται,
broad to narrower narrowed for this have-been-contrived
πρὸς τὸ ἕλκειν ἀπὸ τῆς σαρκὸς καὶ ἐπισπᾶσθαι, ἄλλα τε
for the to-draw from the flesh and to-attract others and
πολλὰ τοιουτότροπα. Τῶν δ' ἔσω τοῦ ἀνθρώπου φύσις καὶ
many of-such-kind Of-the and inside of-the man nature and
σχῆμα τοιοῦτον· κύστις τε καὶ κεφαλὴ, καὶ ὑστέρα γυναιξί·
structure such bladder both and head and womb in-women
καὶ φανερῶς ταῦτα μάλιστα ἕλκει, καὶ πλήρεά ἐστιν ἐπάκτου
and manifestly these most draw and full are of-acquired
ὑγρότητος αἰεί. Τά δὲ κοῖλα καὶ ἐκπεπταμένα ἐπιῤῥυεῖσαν
moisture always The but hollow and spread-out flowing-in
μὲν ἂν ὑγρότητα μάλιστα δέξαιτο πάντων, ἐπισπάσαιτο
indeed — moisture most would-receive of-all would-attract
δ' ἂν οὐχ ὁμοίως. Τὰ δέ γε στερεὰ καὶ στρογγύλα οὔτ'
but — not alike The but at-least solid and round neither
ἂν ἐπισπάσαιτο οὔτ' ἂν ἐπιῤῥυεῖσαν δέξαιτο· περιολισθάνοι
— would-attract nor — flowing-in would-receive would-slip-around

τε γὰρ ἂν, καὶ οὐκ ἔχοι ἕδρην ἐφ᾽ ἧς μένοι. Τὰ
both for — and not would-have seat on which it-might-stay The
δὲ σπογγοειδέα τε καὶ ἀραιὰ, οἷον σπλὴν, πλεύμων καὶ
but spongy both and porous such-as spleen lung and
μαζοὶ, προσκαθεζόμενα μάλιστα ἀναπίοι καὶ σκληρυνθείη
breasts lying-against most would-drink-up and would-harden
καὶ αὐξηθείη, ὑγρότητος προσγενομένης, ταῦτα μάλιστα.
and would-grow moisture having-been-added these most
Οὐ γὰρ ἂν ἐν σπληνὶ, ὥσπερ ἐν κοιλίῃ ἐν ᾗ τὸ ὑγρὸν,
Not for — in spleen as in belly in which the liquid
ἔξω τε περιέχοι αὕτη ἡ κοιλίη καὶ ἐξαλίζοιτ᾽ ἂν καθ᾽
outside both would-contain this the belly and would-be-emptied — by
ἑκάστην ἡμέρην· ἀλλ᾽ ὅταν πίῃ καὶ δέξηται αὐτὸς ἐς
each day but when it-drinks and receives it into
ἑωυτὸν τὸ ὑγρὸν, τὰ κενὰ καὶ ἀραιὰ ἐπληρώθη, καὶ
itself the liquid the empty-spaces and porous-parts were-filled and
τὰ σμικρὰ πάντα, καὶ ἀντὶ ἀραιοῦ τε καὶ μαλθακοῦ
the small all and instead-of porous both and soft
σκληρός τε καὶ πυκνὸς ἐγένετο, καὶ οὔτ᾽ ἐκπέσσει οὔτ᾽
hard both and dense it-became and neither concocts nor
ἀφίησι· ταῦτα δὲ πάσχει διὰ τὴν φύσιν τοῦ σχήματος.
discharges these-things and it-suffers because-of the nature of-the structure
Ὅσα δὲ φῦσάν τε καὶ ἀνειλήματα ἐνεργάζονται ἐν
As-many-as and wind both and rumblings produce in
τῷ σώματι, προσήκει ἐν μὲν τοῖσι κοίλοισί τε καὶ
the body it-befits in indeed the hollow both and
εὐρυχώροισιν, οἷον κοιλίῃ τε καὶ θώρηκι, ψόφον τε καὶ
roomy such-as belly both and chest noise both and
πάταγον ἐμποιέειν. Ὅτε γὰρ ἂν μὴ ἀποπληρώσῃ οὕτως
clatter to-produce When for — not it-fills-up so
ὥστε στῆναι, ἀλλ᾽ ἔχῃ μεταβολάς τε καὶ κινήσιας, ἀνάγκη
as to-stand but it-has changes both and motions necessity

ὑπ᾽ αὐτέων καὶ ψόφον καὶ καταφανέας κινήσιας γίνεσθαι.
by them both noise and manifest motions to-come-about
Ὅσα δὲ σαρκώδεά τε καὶ μαλθακὰ, ἐν τοῖσι τουτέοισι
As-many-as but fleshy both and soft in the these
νάρκαι τε καὶ πληρώματα, οἷα ἐν τοῖσιν ἀποπληγεῖσι
numbnesses both and fillings such-as in the stricken
γίνεται· ὅταν δ᾽ ἐγκύρσῃ πλατεῖ τε καὶ ἀντικειμένῳ, καὶ
come-about when but it-meets broad both and opposing and
πρὸς αὐτὸ ἀντιπαίσῃ, καὶ φύσει τοῦτο τύχῃ, μήτε ἰσχυρὸν
against it it-strikes and by-nature this happens neither strong
ἐὸν, ὥστε δύνασθαι ἀντέχεσθαι τῆς βίης καὶ μηδὲν κακὸν
being so-as to-be-able to-hold-out-against the force and no harm
παθεῖν, μήτε μαλθακόν τε καὶ ἀραιὸν, ὥστ᾽ ἐκδέξασθαί τε
to-suffer nor soft both and porous so-as to-receive both
καὶ ὑπεῖξαι, ἁπαλὸν δὲ καὶ τεθηλὸς καὶ ἔναιμον καὶ πυκνὸν,
and to-yield delicate but and swollen and full-of-blood and dense
οἷον ἦπαρ, διὰ μὲν τὴν πυκνότητα καὶ πλατύτητα
such-as liver because-of indeed the density and breadth
ἀνθέστηκέ τε καὶ οὐχ ὑπείκει. Φῦσα δὲ ὑποδεχομένη
it-resists both and not yields Wind but being-received
αὔξεταί τε καὶ ἰσχυροτέρη γίνεται, καὶ ὁρμᾷ μάλιστα πρὸς
grows both and stronger becomes and rushes most to
τὸ ἀντιπαῖον. Διὰ δὲ τὴν ἁπαλότητα καὶ τὴν ἐναιμότητα
the resisting-thing Through and the delicacy and the bloodiness
οὐ δύναται ἄνευ πόνων εἶναι, καὶ διὰ ταύτας τὰς
not it-can without pains to-be and because-of these the
προφάσιας ὀδύναι τε ὀξύταται καὶ πυκνόταται πρὸς τοῦτο
causes pains both most-acute and most-frequent toward this
τὸ χωρίον γίνονται, ἐκπυήματά τε καὶ φύματα πλεῖστα.
the place come-about abscesses both and growths most
Γίνεται δὲ καὶ ὑπὸ φρένας ἰσχυρῶς, ἧσσον δὲ πολλόν·
It-comes-about and also under diaphragm strongly less but much

διάτασις μὲν γὰρ φρενῶν πλατείη καὶ ἀντικειμένη, φύσις
extension indeed for of-diaphragm broad and opposing nature
δὲ νευρωδεστέρη τε καὶ ἰσχυροτέρη, διὸ ἧσσον ἐπώδυνά
and more-sinewy both and stronger therefore less painful-things
ἐστι. Γίνονται δὲ καὶ περὶ ταῦτα καὶ πόνοι καὶ φύματα.
are Come-about and also about these-parts both pains and growths
Πολλὰ δὲ καὶ ἄλλα καὶ ἔσω καὶ ἔξω τοῦ σώματος 23
Many and also other both inside and outside of-the body
εἴδεα σχημάτων, ἃ μεγάλα ἀλλήλων διαφέρει πρὸς
forms of-structures which greatly from-one-another differ in-respect-to
τὰ παθήματα καὶ νοσέοντι καὶ ὑγιαίνοντι, οἷον κεφαλαὶ
the sufferings both for-one-sick and for-one-healthy such-as heads
σμικραὶ ἢ μεγάλαι, τράχηλοι λεπτοὶ ἢ παχέες, μακροὶ
small or large necks thin or thick long
ἢ βραχέες, κοιλίαι μακραὶ ἢ στρογγύλαι, θώρηκος καὶ
or short bellies long or round of-chest and
πλευρέων πλατύτητες ἢ στενότητες, καὶ ἄλλα μυρία,
of-ribs breadths or narrownesses and others countless
ἃ δεῖ πάντα εἰδέναι ἧ διαφέρει, ὅπως, τὰ αἴτια
which one-must all to-know in-what they-differ so-that the causes
ἑκάστων εἰδὼς, ὀρθῶς τηροίης.
of-each knowing rightly you-may-watch
Περὶ δὲ δυνάμιων χυμῶν, αὐτέων τε ἕκαστος ὅ τι 24
About and powers of-humors themselves both each what —
δύναται ποιέειν τὸν ἄνθρωπον ἐσκέφθαι, καὶ πρότερον
can to-do the man to-have-been-examined also before
εἴρηται, καὶ τὰς ξυγγενείας ὡς ἔχουσι πρὸς ἀλλήλους.
it-has-been-said and the kinships how they-stand toward one-another
Λέγω δὲ τὸ τοιοῦτον· εἰ γλυκὺς χυμὸς μεταβάλλοι ἐς
I-mean and the such-thing if sweet humor should-change into
ἄλλο εἶδος, μὴ ἀπὸ ξυγκρήσιος, ἀλλ' αὐτὸς ἐξιστάμενος,
other form not from blending but itself departing

ποῖός τις πρῶτος γένοιτο, πικρὸς, ἢ ἁλμυρὸς, ἢ
what-kind — first would-it-become bitter or salt or
στρυφνὸς, ἢ ὀξύς; Οἶμαι μὲν, ὀξύς. Ὁ ἄρα ὀξὺς χυμὸς
astringent or acid I-think indeed acid The then acid humor
ἀνεπιτήδειος προσφόρων ἂν τῶν λοιπῶν μάλιστα εἴη,
unsuitable of-the-things-offered — of-the remaining most would-be
εἴπερ ὁ γλυκύς γε πάντων ἐπιτηδειότατος. Οὕτως,
if-indeed the sweet at-least of-all most-suitable So
εἴ τις δύναιτο ζητέων ἔξωθεν ἐπιτυγχάνειν, δύναιτ' ἂν
if anyone could seeking from-outside to-hit-upon be-could —
πάντων ἐκλέγεσθαι αἰεὶ τὸ βέλτιστον· βέλτιστον δέ ἐστι
of-all to-choose always the best best and is
τὸ προσωτάτω τοῦ ἀνεπιτηδείου ἀπέχον.
the-thing farthest from-the unsuitable being-away

HIPPOCRATES

ΠΕΡΙ ΤΕΧΝΗΣ

The Art

ΠΕΡΙ ΤΕΧΝΗΣ

I · A DEFENSE OF THE ART

Some make an art of reviling the arts, to display their own learning; discovering what is unfound is the work of intelligence, but disparaging others' discoveries suits only the unskilled. No art is unreal, for what is is seen and known, and the arts are seen from their forms; names are conventions, while forms grow from nature. Medicine relieves the sick of their distress, blunts the violence of diseases, and declines the cases a disease has mastered. Chance has its share, but those who recover under a physician owe it to the art, for they entrusted themselves to it and saw its power in the work.

Εἰσί τινες οἳ τέχνην πεποίηνται τὸ τὰς τέχνας 1
There-are some who an-art have-made the the arts
αἰσχροεπεῖν, ὡς μὲν οἴονται οἱ τοῦτο διαπρησσόμενοι,
to-revile as indeed think those this accomplishing
οὐχ ὃ ἐγὼ λέγω, ἀλλ' ἱστορίης οἰκείης ἐπίδειξιν ποιεύμενοι.
not what I say but of-inquiry own display making
Ἐμοὶ δὲ τὸ μέν τι τῶν μὴ εὑρημένων ἐξευρίσκειν, ὅ
To-me but the indeed something of-the not found to-discover what
τι καὶ εὑρεθὲν κρέσσον ᾖ ἢ ἀνεξεύρετον, ξυνέσιος δοκέει
— also found better is than undiscovered of-intelligence seems
ἐπιθύμημά τε καὶ ἔργον εἶναι, καὶ τὸ τὰ ἡμίεργα
the-ambition both and work to-be and the the half-finished-things
ἐς τέλος ἐξεργάζεσθαι ὡσαύτως· τὸ δὲ λόγων οὐ καλῶν
to end to-work-out likewise the but of-words not fine
τέχνῃ τὰ τοῖς ἄλλοις εὑρημένα αἰσχύνειν προθυμέεσθαι,
by-art the-things by-the others found to-disgrace to-be-eager
ἐπανορθοῦντα μὲν μηδὲν, διαβάλλοντα δὲ τὰ τῶν εἰδότων
correcting indeed nothing slandering but the of-the knowing
πρὸς τοὺς μὴ εἰδότας ἐξευρήματα, οὐκέτι δοκέει ξυνέσιος
to the not knowing discoveries no-longer seems of-intelligence

ἐπιθύμημά τε καὶ ἔργον εἶναι, ἀλλὰ κακαγγελίη μᾶλλον
the-ambition both and work to-be but ill-report rather
φύσιος ἢ ἀτεχνίη· μούνοισι γὰρ τοῖσιν ἀτέχνοισιν ἡ
of-nature than lack-of-art to-the-only for the unskilled the
ἐργασίη αὕτη ἁρμόζει, φιλοτιμεομένων μὲν, οὐδαμᾶ δὲ
practice this befits of-those-ambitious indeed in-no-way but
δυναμένων κακίῃ ὑπουργέειν εἰς τὸ τὰ τῶν πέλας ἔργα
being-able to-wickedness to-minister to the the of-the neighbors works
ἢ ὀρθὰ ἐόντα διαβάλλειν, ἢ οὐκ ὀρθὰ μωμέεσθαι. Τοὺς μὲν
either right being to-slander or not right to-blame Those indeed
οὖν ἐς τὰς ἄλλας τέχνας τούτῳ τῷ τρόπῳ ἐμπίπτοντας,
then into the other arts this the manner falling-upon
οἷσι μέλει τε, καὶ ὧν μέλει, οἱ δυνάμενοι
for-whom it-is-a-care both and of-what it-is-a-care those able
κωλυόντων· ὁ δὲ παρεὼν λόγος τοῖσιν ἐς ἰητρικὴν οὕτως
let-them-check the but present argument to-those into medicine so
ἐμπορευομένοις ἐναντιώσεται, θρασυνόμενος μὲν διὰ
trafficking will-oppose being-bold indeed because-of
τούτους οὓς ψέγει, εὐπορέων δὲ διὰ τὴν τέχνην ᾗ
these whom it-blames well-provided but because-of the art which
βοηθεῖ, δυνάμενος δὲ διὰ σοφίην ᾗ πεπαίδευται.
it-helps being-able and because-of wisdom in-which it-has-been-educated

2 Δοκέει δή μοι τὸ μὲν σύμπαν τέχνη εἶναι οὐδεμία οὐκ
Seems indeed to-me the indeed whole art to-be none not
ἐοῦσα· καὶ γὰρ ἄλογον τῶν ἐόντων τι ἡγεῖσθαι
being and for absurd of-the things-that-are something to-think
μὴ ἐόν· ἐπεὶ τῶν γε μὴ ἐόντων τίνα ἂν τίς οὐσίην
not being since of-the at-least not being what — anyone essence
θεησάμενος ἀπαγγείλειεν ὡς ἔστιν; εἰ γὰρ δὴ ἔστι γ'
having-beheld could-report that it-is if for indeed it-is-possible at-least
ἰδεῖν τὰ μὴ ἐόντα, ὥσπερ τὰ ἐόντα, οὐκ οἶδ' ὅπως ἄν τις
to-see the not being as the being not I-know how — anyone

αὐτὰ νομίσειε μὴ ἐόντα, ἅ γε εἴη καὶ ὀφθαλμοῖσιν
them could-think not being which at-least it-were-possible both with-eyes
ἰδεῖν καὶ γνώμῃ νοῆσαι ὥς ἐστιν· ἀλλ᾽ ὅπως μὴ οὐκ ᾖ
to-see and with-mind to-perceive that they-are but how not not be
τοῦτο τοιοῦτον· ἀλλὰ τὰ μὲν ἐόντα αἰεὶ ὁρᾶταί τε καὶ
this such but the indeed being always are-seen both and
γινώσκεται, τὰ δὲ μὴ ἐόντα οὔτε ὁρᾶται οὔτε γινώσκεται.
are-known the but not being neither are-seen nor are-known
Γινώσκεται τοίνυν δεδειγμένων ἤδη τῶν τεχνέων, καὶ
Are-known then shown already the arts and
οὐδεμία ἐστὶν ἥ γε ἔκ τινος εἴδεος οὐχ ὁρᾶται. Οἶμαι δ᾽
none is which at-least from some form not is-seen I-think and
ἔγωγε καὶ τὰ ὀνόματα αὐτὰς διὰ τὰ εἴδεα λαβεῖν· ἄλογον
I also the names them through the forms to-have-taken absurd
γὰρ ἀπὸ τῶν ὀνομάτων τὰ εἴδεα ἡγεῖσθαι βλαστάνειν,
for from the names the forms to-think to-sprout
καὶ ἀδύνατον· τὰ μὲν γὰρ ὀνόματα φύσιος νομοθετήματά
and impossible the indeed for names of-nature enactments
ἐστι, τὰ δὲ εἴδεα οὐ νομοθετήματα, ἀλλὰ βλαστήματα.
are the but forms not enactments but sproutings
Περὶ μὲν οὖν τούτων εἴ γέ τις μὴ ἱκανῶς ἐκ τῶν 3
About indeed then these-things if at-least anyone not sufficiently from the
εἰρημένων ξυνίησιν, ἐν ἄλλοισιν ἂν λόγοισι σαφέστερον
said-things understands in other — arguments more-clearly
διδαχθείη. Περὶ δὲ ἰητρικῆς, ἐς ταύτην γὰρ ὁ λόγος,
he-might-be-taught About but medicine to this for the argument
ταύτης οὖν τὴν ἀπόδειξιν ποιήσομαι, καὶ πρῶτόν γε
of-this then the demonstration I-will-make and first at-least
διοριεῦμαι ὃ νομίζω ἰητρικὴν εἶναι, τὸ δὴ πάμπαν
I-will-define what I-think medicine to-be the indeed altogether
ἀπαλλάσσειν τῶν νοσεόντων τοὺς καμάτους, καὶ τῶν
to-relieve of-the sick the distresses and of-the

νοσημάτων τὰς σφοδρότητας ἀμβλύνειν, καὶ τὸ μὴ ἐγχειρέειν
diseases the violences to-blunt and the not to-undertake
τοῖσι κεκρατημένοισιν ὑπὸ τῶν νοσημάτων, εἰδότας ὅτι
the-ones overmastered by the diseases knowing that
ταῦτα οὐ δύναται ἰητρική. Ὡς οὖν ποιέει τε ταῦτα, καὶ οἵη
these-things not can medicine That then it-does both these-things and able
τέ ἐστι διὰ παντὸς ποιέειν, περὶ τούτου μοι δὴ ὁ λοιπὸς
— is through all to-do about this to-me indeed the remaining
ἔσται λόγος· ἐν δὲ τῇ τῆς τέχνης ἀποδείξει ἅμα καὶ τοὺς
will-be argument in and the of-the art demonstration at-once also the
λόγους τῶν αἰσχύνειν αὐτὴν οἰομένων ἀναιρήσω, ᾗ
arguments of-those to-disgrace it thinking I-will-refute in-whatever-way
ἂν ἕκαστος αὐτῶν πρήσσειν τι οἰόμενος τυγχάνῃ.
— each of-them to-accomplish something thinking happens

4 Ἐστὶ μὲν οὖν μοι ἀρχὴ τοῦ λόγου, ἣ καὶ ὁμολογηθήσεται
Is indeed then to-me beginning of-the argument which also will-be-agreed
παρὰ πᾶσιν· ὅτι μὲν ἔνιοι ἐξυγιαίνονται τῶν θεραπευομένων
by all that indeed some are-healed of-those treated
ὑπὸ ἰητρικῆς ὁμολογέεται· ὅτι δὲ οὐ πάντες, ἐν τούτῳ ἤδη
by medicine is-agreed that but not all in this already
ψέγεται ἡ τέχνη, καί φασιν οἱ τὰ χείρω λέγοντες, διὰ
is-blamed the art and say those the worse saying because-of
τοὺς ἁλισκομένους ὑπὸ τῶν νοσημάτων, τοὺς ἀποφεύγοντας
those caught by the diseases those escaping
αὐτὰ τύχῃ ἀποφεύγειν καὶ οὐ διὰ τὴν τέχνην. Ἐγὼ δὲ
them by-chance to-escape and not because-of the art I but
οὐκ ἀποστερέω μὲν οὐδ' αὐτὸς τὴν τύχην ἔργου οὐδενὸς,
not deprive indeed nor myself the chance of-work any
ἡγεῦμαι δὲ τοῖσι μὲν κακῶς θεραπευομένοισι νουσήμασι
I-believe but to-the indeed badly treated diseases
τὰ πολλὰ τὴν ἀτυχίην ἕπεσθαι, τοῖσι δὲ εὖ τὴν εὐτυχίην.
for-the most-part the misfortune to-follow to-the but well the good-fortune

Ἔπειτα δὲ καὶ πῶς οἷόν τέ ἐστι τοῖς ὑγιασθεῖσιν ἄλλο
Then and also how possible — is-it for-those healed other
τι αἰτιήσασθαι ἢ τὴν τέχνην, εἴπερ χρώμενοι αὐτῇ
something to-credit than the art if-indeed using it
καὶ ὑπουργέοντες ὑγιάσθησαν; τὸ μὲν γὰρ τῆς τύχης
and assisting they-were-healed the indeed for of-the chance
εἶδος ψιλὸν οὐκ ἠβουλήθησαν θεήσασθαι, ἐν ᾧ τῇ τέχνῃ
form bare not they-wished to-behold in which to-the art
ἐπέτρεψαν σφᾶς αὐτοὺς, ὥστε τῆς μὲν ἐς τὴν τύχην
they-entrusted them themselves so-that of-the indeed to the chance
ἀναφορῆς ἀπηλλαγμένοι εἰσὶ, τῆς μέντοι ἐς τὴν τέχνην
reference freed they-are of-the however to the art
οὐκ ἀπηλλαγμένοι· ἐν ᾧ γὰρ ἐπέτρεψαν καὶ ἐπίστευσαν
not freed in which for they-entrusted and trusted
αὐτῇ σφᾶς αὐτοὺς, ἐν τούτῳ αὐτῆς καὶ τὸ εἶδος ἐσκέψαντο
it them themselves in this of-it both the form they-beheld
καὶ τὴν δύναμιν, περανθέντος τοῦ ἔργου, ἔγνωσαν.
and the power accomplished the work they-recognized

II · THE CURE IS THE ART'S

An opponent says many recover without a physician. They do, but by fasting or feasting, bathing or resting, as a physician would prescribe, so chance is only a name. When the sick die, the blame is theirs, since a patient in pain is likelier to disobey than a physician to err. Medicine rightly refuses cases stronger than its instruments.

Ἐρεῖ δὴ ἐνταῦθα ὁ τἀναντία λέγων, ὅτι πολλοὶ ἤδη
Will-say indeed here the-one the-opposite saying that many already
καὶ οὐ χρησάμενοι ἰητρῷ νοσέοντες ὑγιάσθησαν, καὶ ἐγὼ
even not having-used a-physician being-ill were-healed and I
τῷ λόγῳ οὐκ ἀπιστέω· δοκέει δέ μοι οἷόν τε εἶναι καὶ
the statement not disbelieve it-seems but to-me possible — to-be even

ἰητρῷ μὴ χρωμένους ἰητρικῇ περιτυχεῖν, οὐ μὴν ὥστε
a-physician not using medicine to-happen-upon not however so-as
εἰδέναι ὅ τι ὀρθὸν ἐν αὐτῇ ἐνείη, καὶ ὅ τι μὴ ὀρθὸν,
to-know what — right in it was-present and what — not right
ἄλλ᾽ ὥστ᾽ ἂν ἐπιτύχοιεν τοιαῦτα θεραπεύσαντες ἑωυτοὺς,
but so-that — they-would-hit-upon such having-treated themselves
ὁποῖά περ ἂν ἐθεραπεύθησαν, εἰ καὶ ἰητροῖσιν ἐχρῶντο.
as indeed — they-would-have-been-treated if also physicians they-had-used
Καὶ τοῦτό γε τεκμήριον μέγα τῇ οὐσίῃ τῆς τέχνης, ὅτι
And this at-least proof great for-the being of-the art that
ἐοῦσά τέ ἐστι καὶ μεγάλη, ὅπου γε φαίνονται καὶ οἱ μὴ
being both it-is and great where at-least appear even those not
νομίζοντες αὐτὴν εἶναι, σωζόμενοι δι᾽ αὐτήν· πολλὴ γὰρ
believing it to-be being-saved because-of it great for
ἀνάγκη καὶ τοὺς μὴ χρωμένους ἰητροῖσι, νοσήσαντας δὲ καὶ
necessity also those not using physicians having-been-ill but and
ὑγιασθέντας εἰδέναι, ὅτι ἢ δρῶντές τι ἢ μὴ δρῶντες
having-been-healed to-know that either doing something or not doing
ὑγιάσθησαν· ἢ γὰρ ἀσιτίῃ, ἢ πολυφαγίῃ, ἢ ποτῷ πλείονι,
they-were-healed either for by-fasting or by-much-eating or by-drink more
ἢ δίψῃ, ἢ λουτροῖσιν, ἢ ἀλουσίῃ, ἢ πόνοισιν, ἢ ἡσυχίῃ,
or by-thirst or by-baths or by-not-bathing or by-exertions or by-rest
ἢ ὕπνοισιν, ἢ ἀγρυπνίῃ, ἢ τῇ ἁπάντων τούτων ταραχῇ
or by-sleeps or by-wakefulness or by-the of-all these mixture
χρώμενοι, ὑγιάνθησαν· καὶ τῷ ὠφελῆσθαι πολλὴ ἀνάγκη
using they-were-healed and by-the having-been-benefited much necessity
αὐτούς ἐστιν ἐγνωκέναι, ὅ τι ἦν τὸ ὠφελῆσαν, καὶ,
them is to-have-recognized what — was the benefiting and
ὅτε ἐβλάβησαν, τῷ βλαβῆναι, ὅ τι ἦν τι τὸ βλάψαν.
when they-were-harmed by-the having-been-harmed what — was — the harming

Τὰ γὰρ τῷ ὠφελῆσθαι καὶ τὰ τῷ βεβλάφθαι
The-things for by-the having-been-benefited and the-things by-the having-been-harmed
ὡρισμένα οὐ πᾶς ἱκανὸς γνῶναι· εἰ τοίνυν ἐπιστήσεται
defined not everyone able to-know if therefore he-will-understand
ἢ ἐπαινέειν ἢ ψέγειν ὁ νοσήσας τῶν διαιτημάτων τι
either to-praise or to-blame the-one having-been-ill of-the regimens any
οἷσιν ὑγιάσθη, πάντα ταῦτα τῆς ἰητρικῆς ὄντα εὑρήσει·
by-which he-was-healed all these-things of-the medicine being he-will-find
καί ἐστιν οὐδὲν ἧσσον τὰ ἁμαρτηθέντα τῶν ὠφελησάντων
and is nothing less the errors than-the benefiting-things
μαρτύρια τῇ τέχνῃ ἐς τὸ εἶναι· τὰ μὲν γὰρ ὠφελήσαντα
witnesses to-the art for the to-be the indeed for benefiting-things
τῷ ὀρθῶς προσενεχθῆναι ὠφέλησαν· τὰ δὲ βλάψαντα τῷ
by-the rightly to-be-given benefited the but harming-things by-the
μηκέτι ὀρθῶς προσενεχθῆναι ἔβλαψαν. Καί τοι ὅπου τό τε
no-longer rightly to-be-given harmed And yet where the both
ὀρθὸν καὶ τὸ μὴ ὀρθὸν ὅρον ἔχει ἑκάτερον, πῶς τοῦτο οὐκ
right and the not right limit has each how this not
ἂν τέχνη εἴη; τοῦτο γὰρ ἔγωγέ φημι ἀτεχνίην εἶναι, ὅπου
— art would-be this for I I-say lack-of-art to-be where
μήτε ὀρθὸν ἔνι μηδὲν, μήτε οὐκ ὀρθόν· ὅπου δὲ τούτων
neither right is-in anything nor not right where but of-these
ἔνεστιν ἑκάτερον, οὐκ ἔτ' ἂν τοῦτο ἔργον ἀτεχνίης εἴη.
is-in each not still — this work of-lack-of-art would-be
Ἔτι τοίνυν εἰ μὲν ὑπὸ φαρμάκων τῶν τε καθαιρόντων καὶ 6
Further therefore if indeed by drugs the both purging and
τῶν ἱστάντων ἡ ἴησις τῇ τε ἰητρικῇ καὶ τοῖσιν ἰητροῖσι
the binding the cure for-the both medicine and for-the physicians
μοῦνον ἐγίνετο, ἀσθενὴς ἦν ἂν ὁ ἐμὸς λόγος· νῦν δὲ
alone came-about weak would-be — the my argument now but
δὴ φαίνονται τῶν ἰητρῶν οἱ μάλιστα ἐπαινεόμενοι καὶ
indeed appear of-the physicians the most praised also

διαιτήμασιν ἰώμενοι καὶ ἄλλοισί γε εἴδεσιν, ἃ οὐκ ἄν
by-regimens healing and by-other at-least forms which not —
τις φαίη, μὴ ὅτι ἰητρὸς, ἀλλ᾽ οὐδὲ ἰδιώτης ἀνεπιστήμων
Ἰσχύει δὲ ἐν τῷ ἐνιαυτῷ τοτὲ μὲν ὁ χειμὼν μάλιστα,
Is-strong and in the year at-one-time indeed the winter most
τοτὲ δὲ τὸ ἦρ, τοτὲ δὲ τὸ θέρος, τοτὲ δὲ τὸ
at-another but the spring at-another but the summer at-another but the
φθινόπωρον· οὕτω δὲ καὶ ἐν τῷ ἀνθρώπῳ τοτὲ μὲν τὸ
autumn so and also in the man at-one-time indeed the
φλέγμα ἰσχύει, τοτὲ δὲ τὸ αἷμα, τοτὲ δὲ ἡ χολὴ, πρῶτον
phlegm is-strong at-another but the blood at-another but the bile first
μὲν ἡ ξανθὴ, ἔπειτα δ' ἡ μέλαινα καλεομένη. Μαρτύριον
indeed the yellow then and the black so-called Testimony

δὲ σαφέστατον, εἰ ἐθέλεις τῷ αὐτέῳ ἀνθρώπῳ δοῦναι τὸ
and clearest if you-wish to-the same man to-give the
αὐτὸ φάρμακον τετράκις τοῦ ἐνιαυτοῦ, ἐμέεταί σοι τοῦ
same drug four-times in-the year be-vomits for-you in-the
μὲν χειμῶνος φλεγματωδέστατα, τοῦ δὲ ἦρος ὑγρότατα,
indeed winter most-phlegmy in-the and spring most-moist
τοῦ δὲ θέρεος χολωδέστατα, τοῦ δὲ φθινοπώρου μελάντατα.
in-the and summer most-bilious in-the and autumn blackest
8 Ὀφείλει οὖν, τουτέων ὧδε ἐχόντων, ὁκόσα μὲν τῶν
Ought then these thus being as-many-as indeed of-the
νουσημάτων χειμῶνος αὔξεται, θέρεος λήγειν, ὁκόσα δὲ
diseases in-winter increase in-summer to-cease as-many-as and
θέρεος αὔξεται, χειμῶνος λήγειν, ὁκόσα μὴ αὐτέων ἐν
in-summer increase in-winter to-cease as-many-as not of-them in
περιόδῳ ἡμερέων ἀπαλλάσσεται· τὴν δὲ περίοδον αὖθις
period of-days are-released the and period again
φράσω τὴν τῶν ἡμερέων. Ὁκόσα δὲ ἦρος γίνεται
I-will-explain the of-the days As-many-as and in-spring come-about
νουσήματα, προσδέχεσθαι χρὴ φθινοπώρου τὴν ἀπάλλαξιν
diseases to-expect one-must in-autumn the release
ἔσεσθαι αὐτέων· ὁκόσα δὲ φθινοπωρινὰ νουσήματα,
to-be of-them as-many-as and autumnal diseases
τουτέων τοῦ ἦρος ἀνάγκη τὴν ἀπάλλαξιν γενέσθαι· ὅ τι δ'
of-these in-the spring necessity the release to-come-about what — and
ἂν τὰς ὥρας ταύτας ὑπερβάλλῃ νούσημα, εἰδέναι χρὴ ὡς
— the seasons these exceeds disease to-know one-must that
ἐνιαύσιον αὐτὸ ἐσόμενον. Καὶ τὸν ἰητρὸν οὕτω χρὴ ἰῆσθαι
yearly it going-to-be And the physician so must to-treat
τὰ νουσήματα ὡς ἑκάστου τουτέων ἰσχύοντος ἐν τῷ σώματι
the diseases as each of-these being-strong in the body
κατὰ τὴν ὥρην τὴν αὐτῷ κατὰ φύσιν ἐοῦσαν μάλιστα.
according-to the season the to-it according-to nature being most

Repletion cures what emptying causes, and the reverse; the physician must oppose the disease. When many fall ill of one disease at once, the cause is the air they breathe, so they keep their regimen, eat less by degrees, and change their place; when many diseases come at once, the regimen is the cause. The thick veins run from the head in four pairs, and bleeding follows their course, cut far from the pain. Men past thirty-five who toiled in youth and then grew soft waste away after a disease, and a man is hottest on his first day and coldest on his last. Most such men recover by themselves within forty-five days, the rest within a year.

Εἰδέναι δὲ χρὴ καὶ τάδε πρὸς ἐκείνοισιν, ὅτι ὁκόσα 9
To-know and one-must also these-things in-addition-to those that as-many-as
πλησμονὴ τίκτει νουσήματα, κένωσις ἰῆται, ὁκόσα δὲ ἀπὸ
fullness begets diseases emptying cures as-many-as and from
κενώσιος γίνεται νουσήματα, πλησμονὴ ἰῆται, ὁκόσα δὲ
emptying come-about diseases fullness cures as-many-as and
ἀπὸ ταλαιπωρίης γίνεται, ἀνάπαυσις ἰῆται, ὁκόσα δ' ὑπ'
from exertion come-about rest cures as-many-as and from
ἀργίης τίκτεται, ταλαιπωρίη ἰῆται. Τὸ δὲ ξύμπαν γνῶναι,
idleness are-begotten exertion cures The and whole to-know
δεῖ τὸν ἰητρὸν ἐναντίον ἵστασθαι τοῖσι καθεστεῶσι καὶ
one-must the physician opposite to-stand to-the established both
νουσήμασι καὶ εἴδεσι καὶ ὥρῃσι καὶ ἡλικίῃσι, καὶ τὰ
diseases and constitutions and seasons and ages and the-things
ξυντείνοντα λύειν, καὶ τὰ λελυμένα ξυντείνειν· οὕτω γὰρ
tightening to-loosen and the-things loosened to-tighten so for
ἂν μάλιστα τὸ κάμνον ἀναπαύοιτο, ἥ τε ἴησις τοῦτό μοι
— most the suffering-part would-rest the and cure this to-me
δοκέει εἶναι. Αἱ δὲ νοῦσοι γίνονται, αἱ μὲν ἀπὸ τῶν
seems to-be The and diseases come-about the-ones indeed from the
διαιτημάτων, αἱ δὲ ἀπὸ τοῦ πνεύματος, ὃ ἐσαγόμενοι
regimens the-others and from the breath which drawing-in

ζῶμεν. Τὴν δὲ διάγνωσιν χρὴ ἑκατέρου ὧδε ποιέεσθαι·
we-live The and diagnosis one-must of-each thus to-make
ὁκόταν μὲν ὑπὸ νουσήματος ἑνὸς πολλοὶ ἄνθρωποι
whenever indeed by disease one many men
ἁλίσκωνται κατὰ τὸν αὐτὸν χρόνον, τὴν αἰτίην χρὴ
are-seized at the same time the cause one-must
ἀνατιθέναι τουτέῳ ὅ τι κοινότατόν ἐστι καὶ μάλιστα
to-attribute to-this what — most-common is and most
αὐτέῳ πάντες χρεώμεθα· ἔστι δὲ τοῦτο ὃ ἀναπνέομεν.
it all we-use is and this what we-breathe
Φανερὸν γὰρ δὴ ὅτι τά γε διαιτήματα ἑκάστου
Manifest for indeed that the at-least regimens of-each
ἡμέων οὐκ αἴτιά ἐστιν, ὅτε ἅπτεται πάντων ἡ νοῦσος
of-us not causes are when it-attacks all the disease
ἑξῆς καὶ τῶν νεωτέρων καὶ τῶν πρεσβυτέρων, καὶ
in-succession both the younger and the older and
γυναικῶν καὶ ἀνδρῶν ὁμοίως, καὶ τῶν θωρησσομένων
women and men alike and those drinking-wine
καὶ τῶν ὑδροποτεόντων, καὶ τῶν μάζαν ἐσθιόντων καὶ
and the drinking-water and those barley-cake eating and
τῶν ἄρτον σιτευμένων, καὶ τῶν πολλὰ ταλαιπωρεόντων
those bread eating and those much toiling
καὶ τῶν ὀλίγα· οὐκ ἂν οὖν τά γε διαιτήματα αἴτια
and those little not — then the at-least regimens causes
εἴη, ὁκόταν διαιτεύμενοι πάντας τρόπους οἱ ἄνθρωποι
would-be when living all ways the men
ἁλίσκωνται ὑπὸ τῆς αὐτέης νούσου. Ὁκόταν δὲ αἱ νοῦσοι
are-seized by the same disease When and the diseases
γίνωνται παντοδαπαὶ κατὰ τὸν αὐτὸν χρόνον, δῆλον ὅτι
come-about of-all-sorts at the same time clear that
τὰ διαιτήματά ἐστιν αἴτια ἕκαστα ἑκάστοισι, καὶ τὴν
the regimens are causes each to-each and the

θεραπείην χρὴ ποιέεσθαι ἐναντιούμενον τῇ προφάσει τῆς
treatment one-must to-make opposing the cause of-the
νούσου, ὥσπερ μοι πέφρασται καὶ ἑτέρωθι, καὶ τῇ τῶν
disease as by-me has-been-said also elsewhere and by-the of-the
διαιτημάτων μεταβολῇ. Δῆλον γὰρ ὅτι οἷσί γε χρέεσθαι
regimens change Clear for that which at-least to-use
εἴωθεν ὥνθρωπος διαιτήμασιν, οὐκ ἐπιτήδειά οἱ ἐστιν
is-accustomed the-man regimens not suitable for-him are
ἢ πάντα, ἢ τὰ πλείω, ἢ ἕν γέ τι αὐτέων· ἃ δεῖ
either all or the more or one at-least something of-them which one-must
καταμαθόντα μεταβάλλειν, καὶ σκεψάμενον τοῦ ἀνθρώπου
having-learned to-change and having-considered of-the man
τὴν φύσιν τήν τε ἡλικίην καὶ τὸ εἶδος καὶ τὴν ὥρην τοῦ
the nature the both age and the constitution and the season of-the
ἔτεος καὶ τῆς νούσου τὸν τρόπον, τὴν θεραπείην ποιέεσθαι,
year and of-the disease the manner the treatment to-make
ποτὲ μὲν ἀφαιρέοντα, ποτὲ δὲ προστιθέντα, ὥσπερ
at-one-time indeed taking-away at-another but adding as
μοι καὶ πάλαι εἴρηται, πρὸς ἕκαστα τῶν ἡλικιέων
by-me also long-ago has-been-said with-respect-to each of-the ages
καὶ τῶν ὡρέων καὶ τῶν εἰδέων καὶ τῶν νούσων ἔν τε
and of-the seasons and of-the constitutions and of-the diseases in both
τῇσι φαρμακείῃσι προτρέπεσθαι καὶ ἐν τοῖσι διαιτήμασιν.
the drug-givings to-turn and in the regimens
Ὁκόταν δὲ νουσήματος ἑνὸς ἐπιδημίη καθεστήκῃ, δῆλον
When and of-disease one an-epidemic is-established clear
ὅτι οὐ τὰ διαιτήματα αἴτιά ἐστιν, ἀλλ' ὃ ἀναπνέομεν,
that not the regimens causes are but what we-breathe
τοῦτο αἴτιόν ἐστι, καὶ δῆλον ὅτι τοῦτο νοσηρήν τινα
this cause is and clear that this unhealthy some
ἀπόκρισιν ἔχον ἀνίει. Τοῦτον οὖν χρὴ τὸν χρόνον τὰς
secretion having it-sends-up This then one-must the time the

παραινέσιας ποιέεσθαι τοῖσιν ἀνθρώποισι τοιάσδε· τὰ μὲν
advice to-make to-the men such the indeed
διαιτήματα μὴ μεταβάλλειν, ὅτι γε οὐκ αἴτιά ἐστι τῆς
regimens not to-change since at-least not causes they-are of-the
νούσου, τὸ δὲ σῶμα ὁρῆν, ὅκως ἔσται ὡς ἀογκότατον καὶ
disease the and body to-see how it-will-be as least-bulky and
ἀσθενέστατον, τῶν τε σιτίων ἀφαιρέοντα καὶ τῶν ποτῶν,
weakest the both foods taking-away and the drinks
οἷσιν εἰώθει χρέεσθαι, κατ' ὀλίγον (ἢν γὰρ μεταβάλλῃ
which he-was-accustomed to-use by little if for he-changes
ταχέως τὴν δίαιταν, κίνδυνος καὶ ἀπὸ τῆς μεταβολῆς
quickly the regimen danger also from the change
νεώτερόν τι γενέσθαι ἐν τῷ σώματι, ἀλλὰ χρὴ τοῖσι
newer something to-come-about in the body but one-must the
μὲν διαιτήμασιν οὕτω χρέεσθαι, ὅτε γε φαίνεται μηδὲν
indeed regimens so to-use when at-least it-appears nothing
ἀδικέοντα τὸν ἄνθρωπον)· τοῦ δὲ πνεύματος ὅκως ἡ ῥύσις
wronging the man of-the and breath how the stream
ὡς ἐλαχίστη ἐς τὸ στόμα ἐσίῃ καὶ ὡς ξενωτάτη ἔσται,
as least into the mouth may-enter and as strangest will-be
προμηθέεσθαι, τῶν τε χωρίων τοὺς τόπους μεταβάλλοντα
to-take-forethought the both places the regions changing
ἐς δύναμιν, ἐν οἷσιν ἂν ἡ νοῦσος καθεστήκῃ, καὶ τὰ
as-far-as power in which — the disease is-established and the
σώματα λεπτύνοντα· οὕτω γὰρ ἂν ἥκιστα πολλοῦ τε καὶ
bodies thinning so for — least of-much both and
πυκνοῦ πνεύματος χρήζοιεν οἱ ἄνθρωποι.
dense breath would-need the men

10 Ὁκόσα δὲ τῶν νουσημάτων γίνεται ἀπὸ τοῦ σώματος τῶν
As-many-as and of-the diseases come-about from of-the body of-the
μελέων τοῦ ἰσχυροτάτου, ταῦτα δεινότατά ἐστιν· καὶ γὰρ
limbs the strongest these most-terrible are both for

ἢν αὐτοῦ μένῃ ἔνθα ἂν ἄρξηται, ἀνάγκη, τοῦ ἰσχυροτάτου
if there it-stays where — it-begins necessity the strongest
τῶν μελέων πονεομένου, ἅπαν τὸ σῶμα πονέεσθαι· καὶ ἢν
of-the limbs suffering all the body to-suffer and if
ἐπί τι τῶν ἀσθενεστέρων ἀφίκηται ἀπὸ τοῦ ἰσχυροτέρου,
to some of-the weaker it-arrives from the stronger
χαλεπαὶ αἱ ἀπολύσιες γίνονται. Ὁκόσα δ' ἂν ἀπὸ τῶν
difficult the releases come-about As-many-as and — from the
ἀσθενεστέρων ἐπὶ τὰ ἰσχυρότερα ἔλθῃ, εὐλυτώτερά ἐστιν,
weaker to the stronger come easier-to-resolve are
ὑπὸ γὰρ τῆς ἰσχύος ἀναλώσεται ῥηϊδίως τὰ ἐπιῤῥέοντα.
by for the strength will-be-consumed easily the-things flowing-in
Αἱ παχύταται δὲ τῶν φλεβῶν ὧδε πεφύκασιν· τέσσαρα 11
The thickest and of-the veins thus are-formed four
ζεύγεά ἐστιν ἐν τῷ σώματι, καὶ ἓν μὲν αὐτέων ἀπὸ
pairs there-are in the body and one indeed of-them from
τῆς κεφαλῆς ὄπισθεν διὰ τοῦ αὐχένος, ἔξωθεν ἐπὶ τὴν
the head behind through the neck on-the-outside to the
ῥάχιν ἔνθεν τε καὶ ἔνθεν παρὰ τὰ ἰσχία ἀφικνέεται
spine on-this-side both and on-that-side past the hips arrives
καὶ ἐς τὰ σκέλεα, ἔπειτα διὰ τῶν κνημέων ἐπὶ τῶν
and into the legs then through the shins to the
σφυρῶν τὰ ἔξω καὶ ἐς τοὺς πόδας διήκει. Δεῖ οὖν
ankles the outer and into the feet extends One-must then
τὰς φλεβοτομίας τὰς ἐπὶ τῶν ἀλγημάτων τῶν ἐν τῷ
the bleedings the for the pains the in the
νώτῳ καὶ τοῖσιν ἰσχίοισιν ἀπὸ τῶν ἰγνύων ποιέεσθαι καὶ
back and the hips from the knee-hollows to-make and
ἀπὸ τῶν σφυρῶν ἔξωθεν. Αἱ δ' ἕτεραι φλέβες ἐκ τῆς
from the ankles on-the-outside The and second veins from the
κεφαλῆς παρὰ τὰ οὔατα διὰ τοῦ αὐχένος, αἱ σφαγίτιδες
head past the ears through the neck the jugulars

καλεόμεναι, ἔσωθεν παρὰ τὴν ῥάχιν ἑκατέρωθεν φέρουσι
called on-the-inside along the spine on-each-side run
παρὰ τὰς ψόας ἐς τοὺς ὄρχιας καὶ ἐς τοὺς μηροὺς, καὶ
along the loins into the testicles and into the thighs and
διὰ τῶν ἰγνύων ἐκ τοῦ ἔσωθεν μέρεος, ἔπειτα διὰ τῶν
through the knee-hollows from the inner part then through the
κνημέων παρὰ τὰ σφυρὰ τὰ ἔσωθεν καὶ ἐς τοὺς πόδας.
shins past the ankles the inner and into the feet
Δεῖ οὖν τὰς φλεβοτομίας πρὸς τὰς ὀδύνας ποιέεσθαι
One-must then the bleedings for the pains to-make
τὰς ἀπὸ τῶν ψοῶν καὶ τῶν ὀρχίων, ἀπὸ τῶν ἰγνύων
the from the loins and the testicles from the knee-hollows
καὶ ἀπὸ τῶν σφυρῶν ἔσωθεν. Αἱ δὲ τρίται φλέβες ἐκ
and from the ankles on-the-inside The and third veins from
τῶν κροτάφων διὰ τοῦ αὐχένος ὑπὸ τὰς ὠμοπλάτας,
the temples through the neck under the shoulder-blades
ἔπειτα ξυμφέρονται ἐς τὸν πλεύμονα καὶ ἀφικνέονται ἡ
then they-meet in the lung and they-arrive the-one
μὲν ἀπὸ τῶν δεξιῶν ἐς τὰ ἀριστερὰ, ἡ δὲ ἀπὸ τῶν
indeed from the right to the left the-other and from the
ἀριστερῶν ἐς τὰ δεξιὰ, καὶ ἡ μὲν δεξιὴ ἀφικνέεται ἐκ
left to the right and the indeed right arrives from
τοῦ πλεύμονος ὑπὸ τὸν μαζὸν καὶ ἐς τὸν σπλῆνα καὶ ἐς
the lung under the breast and into the spleen and into
τὸν νεφρὸν, ἡ δὲ ἀπὸ τῶν ἀριστερῶν ἐς τὰ δεξιὰ ἐκ
the kidney the-other and from the left to the right from
τοῦ πλεύμονος ὑπὸ τὸν μαζὸν καὶ ἐς τὸ ἧπαρ καὶ ἐς
the lung under the breast and into the liver and into
τὸν νεφρὸν, τελευτῶσι δὲ ἐς τὸν ἀρχὸν αὗται ἑκάτεραι.
the kidney they-end and in the anus these both
Αἱ δὲ τέταρται ἀπὸ τοῦ ἔμπροσθεν τῆς κεφαλῆς καὶ τῶν
The and fourth from the front of-the head and the

ὀφθαλμῶν ὑπὸ τὸν αὐχένα καὶ τὰς κληῖδας, ἔπειτα δὲ
eyes under the neck and the collarbones then and
ὑπὲρ τῶν βραχιόνων ἄνωθεν ἐς τὰς ξυγκαμπὰς, ἔπειτα δὲ
over the arms from-above to the elbow-bends then and
διὰ τῶν πήχεων ἐπὶ τοὺς καρποὺς καὶ τοὺς δακτύλους,
through the forearms to the wrists and the fingers
ἔπειτα ἀπὸ τῶν δακτύλων πάλιν διὰ τῶν στηθέων
then from the fingers again through the palms
τῶν χειρῶν καὶ τῶν πήχεων ἄνω ἐς τὰς ξυγκαμπὰς,
of-the hands and the forearms up to the elbow-bends
καὶ διὰ τῶν βραχιόνων τοῦ κάτωθεν μέρεος ἐς τὰς
and through the arms the underneath part to the
μασχάλας, καὶ ἀπὸ τῶν πλευρέων ἄνωθεν ἡ μὲν ἐς
armpits and from the ribs from-above the-one indeed to
τὸν σπλῆνα ἀφικνέεται, ἡ δὲ ἐς τὸ ἧπαρ, ἔπειτα
the spleen arrives the-other and to the liver then
ὑπὲρ τῆς γαστρὸς ἐς τὸ αἰδοῖον τελευτῶσιν ἀμφότεραι.
over the belly to the genitals they-end both
Καὶ αἱ μὲν παχέαι τῶν φλεβῶν ὧδε ἔχουσιν. Εἰσὶ δὲ
And the indeed thick of-the veins thus are There-are and
καὶ ἀπὸ τῆς κοιλίης φλέβες ἀνὰ τὸ σῶμα πάμπολλαί τε
also from the belly veins through the body very-many both
καὶ παντοῖαι, καὶ δι᾽ ὧν ἡ τροφὴ τῷ σώματι ἔρχεται.
and of-all-kinds and through which the nourishment to-the body comes
Φέρουσι δὲ καὶ ἀπὸ τῶν παχεῶν φλεβῶν ἐς τὴν κοιλίην καὶ
They-run and also from the thick veins to the belly and
ἐς τὸ ἄλλο σῶμα καὶ ἀπὸ τῶν ἔξω καὶ ἀπὸ τῶν εἴσω, καὶ
to the rest body and from the outer and from the inner and
ἐς ἀλλήλας διαδιδόασιν αἵ τε εἴσωθεν ἔξω καὶ αἱ ἔξωθεν
to one-another they-pass-on the both from-inside outward and the from-outside
εἴσω. Τὰς οὖν φλεβοτομίας δεῖ ποιέεσθαι κατὰ τουτέους
inward The then bleedings one-must to-make according-to these

τοὺς λόγους· ἐπιτηδεύειν δὲ χρὴ τὰς τομὰς ὡς προσωτάτω
the principles to-practice and one-must the cuts as furthest
τάμνειν ἀπὸ τῶν χωρίων, ἔνθα ἂν αἱ ὀδύναι μεμαθήκωσι
to-cut from the places where — the pains have-learned
γίνεσθαι καὶ τὸ αἷμα ξυλλέγεσθαι· οὕτω γὰρ ἂν ἥ τε
to-come-about and the blood to-collect so for — the both
μεταβολὴ ἥκιστα μεγάλη γίνοιτο ἐξαπίνης, καὶ τὸ ἔθος
change least great would-come-about suddenly and the habit
μεταστήσαις ἂν ὥστε μηκέτι ἐς τὸ αὐτὸ χωρίον ξυλλέγεσθαι.
you-would-shift — so-that no-longer into the same place to-collect

12 Ὁκόσοι πῦον πολλὸν πτύουσιν ἄτερ πυρετοῦ ἐόντες, καὶ
As-many-as pus much spit without fever being and
ὁκόσοισιν ὑπὸ τὸ οὖρον πῦον ὑφίσταται πολλὸν ἄτερ
for-as-many-as under the urine pus settles much without
ὀδύνης ἐούσης, καὶ ὁκόσοισι τὰ ὑποχωρήματα αἱματώδεα
pain being and for-as-many-as the stools bloody
ὥσπερ ἐν τῇσι δυσεντερίῃσι καὶ χρόνιά ἐστιν ἐοῦσι πέντε
as in the dysenteries and chronic are being five
καὶ τριήκοντα ἐτέων καὶ γεραιτέροισι, τουτέοισι πᾶσιν ἀπὸ
and thirty years and older for-these all from
τοῦ αὐτέου τὰ νουσήματα γίνεται· ἀνάγκη γὰρ τουτέους
the same the diseases come-about necessity for these
ταλαιπώρους τε γενέσθαι καὶ φιλοπόνους τῷ σώματι
toilers both to-have-been and hard-working with-the body
καὶ ἐργάτας νεηνίσκους ἐόντας, ἔπειτα δὲ ἐξανεθέντας
and workers young-men being then and released
τῶν πόνων σαρκωθῆναι μαλθακῇ σαρκὶ καὶ πουλὺ
from-the labors to-put-on-flesh with-soft flesh and much
διαφερούσῃ τῆς προτέρης, καὶ πολλὸν διακεκριμένον
differing from-the former and much separated
ἔχειν τὸ σῶμα τό τε προϋπάρχον καὶ τὸ ἐπιτραφὲν, ὥστε
to-have the body the both pre-existing and the added-on so-that

μὴ ὁμονοεῖν. Ὁκόταν οὖν νόσημά τι καταλάβῃ τοὺς οὕτω
not to-agree When then disease some seizes those so
διακειμένους, τὸ μὲν παραχρῆμα διαφεύγουσιν, ὕστερον δὲ
disposed the indeed at-once they-escape later but
μετὰ τὴν νοῦσον χρόνῳ τήκεται τὸ σῶμα, καὶ διαῤῥέει
after the disease in-time melts the body and flows-off
διὰ τῶν φλεβῶν, ᾗ ἂν εὐρυχωρίης μάλιστα τύχῃ,
through the veins where — of-room most it-finds
ἰχωροειδές· ἢν μὲν οὖν ὁρμήσῃ ἐς τὴν κοιλίην τὴν κάτω,
serum-like if indeed then it-rushes into the belly the lower
σχεδόν τι οἷόν περ ἐν τῷ σώματι ἂν ἐνέῃ τοιοῦτον καὶ
nearly — such-as indeed in the body — is-in such also
τὸ διαχώρημα γίνεται· ἅτε γὰρ τῆς ὁδοῦ κατάντεος
the stool becomes inasmuch-as for the way downhill
ἐούσης, οὐχ ἵσταται πολλὸν χρόνον ἐν τῷ ἐντέρῳ.
being not it-stands much time in the intestine
Ὁκόσοισι δ’ ἂν ἐς τὸ στῆθος ἐσρυῇ, ὑπόπυοι γίνονται·
For-as-many-as and — into the chest it-flows suppurating they-become
ἅτε γὰρ τῆς καθάρσιος ἀνάντεος ἐούσης, καὶ χρόνον
as for the purging uphill being and time
ἐναυλιζόμενον πουλὺν ἐν τῷ στήθει, κατασήπεται καὶ γίνεται
lodging long in the chest putrefies and becomes
πυοειδές. Ὁκόσοισι δ’ ἂν ἐς τὴν κύστιν ἐξερεύγηται,
pus-like For-as-many-as and — into the bladder it-bursts-out
ὑπὸ τῆς θερμότητος τοῦ χωρίου τοῦτο καὶ θερμὸν καὶ
by the heat of-the place this both hot and
λευκὸν γίνεται, καὶ διακρίνεται· καὶ τὸ μὲν ἀραιότατον
white becomes and is-separated and the indeed thinnest
ἐφίσταται ἄνω, τὸ δὲ παχύτατον κάτω, ὃ δὴ πῦον
stands above the and thickest below which indeed pus
καλέεται. Γίνονται δὲ καὶ οἱ λίθοι τοῖσι παιδίοισι διὰ
is-called Come-about and also the stones in-the children because-of

τὴν θερμότητα τοῦ χωρίου τε τουτέου καὶ τοῦ ὅλου
the heat of-the place both of-this and of-the whole
σώματος, τοῖσι δὲ ἀνδράσιν οὐ γίνονται λίθοι διὰ τὴν
body in-the and men not come-about stones because-of the
ψυχρότητα τοῦ σώματος. Εὖ γὰρ χρὴ εἰδέναι, ὅτι ὁ
coldness of-the body Well for one-must to-know that the
ἄνθρωπος τῇ πρώτῃ τῶν ἡμερέων θερμότατός ἐστιν
man on-the first of-the days hottest is
αὐτὸς ἑωυτοῦ, τῇ δὲ ὑστάτῃ ψυχρότατος· ἀνάγκη γὰρ
himself than-himself on-the and last coldest necessity for
αὐξανόμενον καὶ χωρέον τὸ σῶμα πρὸς βίην θερμὸν εἶναι·
growing and advancing the body with force hot to-be
ὁκόταν δὲ ἄρχηται μαραίνεσθαι τὸ σῶμα, καταῤῥέον πρὸς
when but it-begins to-wither the body flowing-down toward
εὐπέτειαν, ψυχρότερον γίνεται· καὶ κατὰ τοῦτον τὸν
ease colder becomes and according-to this the
λόγον, ὁκόσον τῇ πρώτῃ τῶν ἡμερέων πλεῖστον αὔξεται
reasoning as-much-as on-the first of-the days most grows
ὁ ἄνθρωπος, τοσοῦτον θερμότερος γίνεται, καὶ τῇ ὑστάτῃ
the man so-much hotter becomes and on-the last
τῶν ἡμερέων, ὁκόσον πλεῖστον καταμαραίνεται, τοσοῦτον
of-the days as-much-as most withers-away so-much
ἀνάγκη ψυχρότερον εἶναι. Ὑγιέες δὲ γίγνονται αὐτόματοι
necessity colder to-be Healthy and become spontaneously
οἱ οὕτω διακείμενοι, πλεῖστοι μὲν ἐν τῇ ὥρῃ, ᾗ ἂν
those so disposed most indeed in the season in-which —
ἄρξωνται τήκεσθαι, πεντεκαιτεσσαρακονθήμεροι· ὁκόσοι δ'
they-begin to-waste in-forty-five-days as-many-as but
ἂν τὴν ὥρην ταύτην ὑπερβάλλωσιν, ἐνιαυτῷ αὐτόματοι
— the season this exceed in-a-year spontaneously
ὑγιέες γίνονται, ἢν μή τι ἄλλο κακουργῆται ὥνθρωπος.
healthy become if not something else is-harmed the-man

Diseases from small and easily known causes are the safest to foretell, and the cure opposes the cause. Sand or stones in the urine come from growths by the thick vein whose pus hardens and passes into the bladder; bloody urine means the veins have suffered, and bran in the urine a scabby bladder. Most fevers come from bile: the continuous from the most, the quotidian, tertian, and quartan from less in turn and lasting longer, the quartan also from black bile, chiefly in autumn and at ages twenty-five to forty-five.

Ὁκόσα τῶν νουσημάτων ἐξ ὀλίγου γίνεται, καὶ ὁκόσων 13
As-many-as of-the diseases from small come-about and of-as-many-as
αἱ προφάσιες εὔγνωστοι, ταῦτα δὲ ἀσφαλέστατά ἐστι
the causes easily-known these-things and safest are
προαγορεύεσθαι· τὴν δὲ ἴησιν χρὴ ποιέεσθαι αὐτὸν
to-be-foretold the and cure one-must to-make himself
ἐναντιούμενον τῇ προφάσει τῆς νούσου· οὕτω γὰρ ἂν
opposing the cause of-the disease so for —
λύοιτο τὸ τὴν νοῦσον παρασχὸν ἐν τῷ σώματι.
would-be-dissolved the-thing the disease having-caused in the body
Ὁκόσοισι ψαμμοειδέα ὑφίσταται ἢ πῶροι ἐν τοῖσιν 14
For-as-many-as sandy-matter settles or calculi in the
οὔροισι, τουτέοισι τὴν ἀρχὴν φύματα ἐγένετο πρὸς τῇ
urine for-these at-the outset growths came-about by the
φλεβὶ τῇ παχείῃ, καὶ διεπύησεν, ἔπειτα δὲ, ἅτε οὐ ταχέως
vein the thick and suppurated then and as not quickly
ἐκραγέντων τῶν φυμάτων, πῶροι ξυνετράφησαν ἐκ τοῦ
having-burst the growths calculi were-formed from the
πύου, οἵτινες ἔξω θλίβονται διὰ τῆς φλεβὸς σὺν τῷ
pus which outward are-squeezed through the vein with the
οὔρῳ ἐς τὴν κύστιν. Ὁκόσοισι δὲ μοῦνον αἱματώδεα τὰ
urine into the bladder For-as-many-as and only bloody the

οὐρήματα, τουτέοισι δὲ αἱ φλέβες πεπονήκασιν· ὁκόσοισι
urines for-these and the veins have-suffered for-as-many-as
δὲ ἐν τῷ οὐρήματι παχεῖ ἐόντι σαρκία σμικρὰ τριχοειδέα
and in the urine thick being bits-of-flesh small hair-like
συνεξέρχεται, ταῦτα δὲ ἀπὸ τῶν νεφρῶν εἰδέναι χρὴ
come-out-with these-things and from the kidneys to-know one-must
ἐόντα καὶ ἀπὸ ἀρθριτικῶν· ὁκόσοισι δὲ καθαρὸν τὸ
being and from arthritic-conditions for-as-many-as and clear the
οὖρον ἄλλοτε καὶ ἄλλοτε, ὁκοῖον δὲ πίτυρα ἐπιφέρεται
urine at-one-time and at-another such and bran is-borne
ἐν τῷ οὐρήματι, τουτέων δὲ ἡ κύστις ψωριᾷ.
in the urine of-these and the bladder has-scabies

Οἱ πλεῖστοι τῶν πυρετῶν γίνονται ἀπὸ χολῆς· εἴδεα
The most of-the fevers come-about from bile forms
δὲ σφέων ἐστὶ τέσσαρα, χωρὶς τῶν ἐν τῇσιν ὀδύνῃσι
and of-them are four apart-from those in the pains
γινομένων τῇσιν ἀποκεκριμένῃσιν· οὐνόματα δ' αὐτέοισίν
arising the localized names and to-them
ἐστι ξύνοχος, ἀμφημερινὸς, τριταῖος, τεταρταῖος. Ὁ μὲν
are continued quotidian tertian quartan The indeed
οὖν ξύνοχος καλεόμενος γίνεται ἀπὸ πλείστης χολῆς καὶ
then continued so-called comes-about from most bile and
ἀκρητεστάτης, καὶ τὰς κρίσιας ἐν ἐλαχίστῳ χρόνῳ ποιέεται·
most-unmixed and the crises in least time makes
τὸ γὰρ σῶμα οὐ διαψυχόμενον οὐδένα χρόνον συντήκεται
the for body not being-cooled any time melts
ταχέως, ἅτε ὑπὸ πολλοῦ τοῦ θερμοῦ θερμαινόμενον. Ὁ
quickly as by much the heat being-heated The
δὲ ἀμφημερινὸς μετὰ τὸν ξύνοχον ἀπὸ πλείστης χολῆς
and quotidian after the continued from most bile
γίνεται, καὶ ἀπαλλάσσεται τάχιστα τῶν ἄλλων, μακρότερος
comes-about and is-released most-quickly of-the others longer

δέ ἐστι τοῦ ξυνόχου, ὁκόσῳ ἀπὸ ἐλάσσονος γίνεται
but is than-the continued by-as-much-as from less it-comes-about
χολῆς, καὶ ὅτι ἔχει ἀνάπαυσιν τὸ σῶμα, ἐν δὲ τῷ ξυνόχῳ
bile and that has rest the body in but the continued
οὐκ ἀναπαύεται οὐδένα χρόνον. Ὁ δὲ τριταῖος μακρότερός
not it-rests any time The and tertian longer
ἐστι τοῦ ἀμφημερινοῦ, καὶ ἀπὸ χολῆς ἐλάσσονος γίνεται·
is than-the quotidian and from bile less comes-about
ὁκόσῳ δὲ πλείονα χρόνον ἐν τῷ τριταίῳ ἢ ἐν τῷ
by-as-much-as and more time in the tertian than in the
ἀμφημερινῷ τὸ σῶμα διαναπαύεται, τοσούτῳ χρονιώτερος
quotidian the body rests by-so-much more-chronic
οὗτος ὁ πυρετὸς τοῦ ἀμφημερινοῦ ἐστιν.
this the fever than-the quotidian is
Οἱ δὲ τεταρταῖοι τὰ μὲν ἄλλα κατὰ τὸν αὐτὸν λόγον,
The and quartans the indeed other-things according-to the same reasoning
χρονιώτεροι δὲ μάλα τῶν τριταίων εἰσὶν, ὁκόσῳ ἔλασσόν
more-chronic but very than-the tertians are by-as-much-as less
τι μέρος μετέχουσι χολῆς τῆς τὴν θερμασίην παρεχούσης,
some part they-share-in of-bile the the heat providing
τοῦ τε διαψύχεσθαι τὸ σῶμα πλέον μετέχουσιν· προσγίνεται
of-the and being-cooled the body more they-share-in is-added
δὲ αὐτέοισιν ἀπὸ μελαίνης χολῆς τὸ περισσὸν τοῦτο καὶ
and to-them from black bile the excess this and
δυσαπάλλακτον· μέλαινα γὰρ χολὴ τῶν ἐν τῷ σώματι
hard-to-be-rid-of black for bile of-the in the body
ἐνεόντων χυμῶν γλισχρότατον, καὶ τὰς ἕδρας χρονιωτάτας
being-in humors most-viscous and the seats most-chronic
ποιέεται. Γνώσῃ δὲ ἐν τῷδε, ὅτι οἱ τεταρταῖοι πυρετοὶ
makes You-will-know and in this that the quartan fevers
μετέχουσι τοῦ μελαγχολικοῦ· φθινοπώρου γὰρ μάλιστα
share-in the melancholic in-autumn for most

οἱ ἄνθρωποι ἁλίσκονται ὑπὸ τῶν τεταρταίων καὶ ἐν τῇ
the men are-seized by the quartans and in the
ἡλικίῃ τῇ ἀπὸ πέντε καὶ εἴκοσιν ἐτέων ἕως τῶν πέντε καὶ
age the from five and twenty years until the five and
τεσσαράκοντα, ὅτι καὶ ἡ ἡλικίη αὕτη ὑπὸ μελαίνης χολῆς
forty because also the age this by black bile
κατέχεται μάλιστα πασέων τῶν ἡλικιῶν, ἥ τε φθινοπωρινὴ
is-held most of-all the ages the and autumnal
ὥρη μάλιστα πασέων τῶν ὡρέων ἐπιτηδειοτάτη. Ὁκόσοι
season most of-all the seasons most-suitable As-many-as
δ' ἂν ἁλῶσιν ἔξω τῆς ὥρης ταύτης καὶ τῆς ἡλικίης ὑπὸ
but — are-seized outside the season this and the age by
τεταρταίου, εὖ χρὴ εἰδέναι μὴ χρόνιον ἐσόμενον τὸν
quartan well one-must to-know not chronic going-to-be the
πυρετὸν, ἢν μὴ ἄλλο τι κακουργῆται ὥνθρωπος.
fever if not other something is-harmed the-man

HIPPOCRATES

ΠΕΡΙ ΑΕΡΩΝ, ΥΔΑΤΩΝ, ΤΟΠΩΝ

Airs, Waters, Places

ΠΕΡΙ ΑΕΡΩΝ, ΥΔΑΤΩΝ, ΤΟΠΩΝ

I · SEASONS, WINDS, AND THE SITUATION OF CITIES

Whoever would pursue medicine rightly must first consider the seasons, the winds, the waters, and the soil of each place, and its people's way of life, for astronomy contributes much to medicine. A city facing the hot winds and sheltered from the north has brackish waters, flabby people with moist heads, and sickly women who miscarry; one facing the cold winds has hard waters and lean, sinewy, long-lived men. A city facing the sunrise is healthiest, and one facing the sunset, sheltered from the east, is the most unhealthy.

Ἰητρικὴν ὅστις βούλεται ὀρθῶς ζητέειν, τάδε χρὴ 1
Medicine whoever wishes rightly to-pursue these-things one-must
ποιέειν· πρῶτον μὲν ἐνθυμέεσθαι τὰς ὥρας τοῦ ἔτεος, ὅ
to-do first indeed to-consider the seasons of-the year what
τι δύναται ἀπεργάζεσθαι ἑκάστη· οὐ γὰρ ἐοίκασιν οὐθὲν,
— can to-effect each not for they-resemble in-nothing
ἀλλὰ πουλὺ διαφέρουσιν αὐταί τε ἑωυτέων καὶ ἐν τῇσι
but much differ they both from-one-another and in the
μεταβολῇσιν· ἔπειτα δὲ τὰ πνεύματα τὰ θερμά τε καὶ τὰ
changes then and the winds the hot both and the
ψυχρά· μάλιστα μὲν τὰ κοινὰ πᾶσιν ἀνθρώποισιν, ἔπειτα
cold most indeed the common to-all men then
δὲ καὶ τὰ ἐν ἑκάστῃ χώρῃ ἐπιχώρια ἐόντα. Δεῖ δὲ
and also the-ones in each country native being One-must and
καὶ τῶν ὑδάτων ἐνθυμέεσθαι τὰς δυνάμιας· ὥσπερ γὰρ ἐν
also of-the waters to-consider the powers as for in
τῷ στόματι διαφέρουσι καὶ ἐν τῷ σταθμῷ, οὕτω καὶ ἡ
the mouth they-differ and in the weight so also the
δύναμις διαφέρει πουλὺ ἑκάστου. Ὥστε, ἐς πόλιν ἐπειδὰν
power differs much of-each So-that into a-city when
ἀφίκηταί τις ἧς ἄπειρός ἐστι, διαφροντίσαι χρὴ
arrives anyone of-which inexperienced he-is to-think-through one-must

τὴν θέσιν αὐτέης, ὅκως κέεται καὶ πρὸς τὰ πνεύματα
the situation of-it how it-lies both toward the winds
καὶ πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου· οὐ γὰρ τωὐτὸ δύναται
and toward the risings of-the sun not for the-same can
ἥτις πρὸς βορέην κέεται, καὶ ἥτις πρὸς νότον, οὐδ᾽
whichever toward north lies and whichever toward south nor
ἥτις πρὸς ἥλιον ἀνίσχοντα, οὐδ᾽ ἥτις πρὸς δύνοντα.
whichever toward sun rising nor whichever toward setting
Ταῦτα δὲ ἐνθυμέεσθαι ὡς κάλλιστα· καὶ τῶν ὑδάτων
These-things and to-consider as finely-as-possible and of-the waters
πέρι ὡς ἔχουσι, καὶ πότερον ἑλώδεσι χρέονται καὶ
about how they-are and whether marshy they-use and
μαλακοῖσιν, ἢ σκληροῖσί τε καὶ ἐκ μετεώρων καὶ ἐκ
soft or hard both and from high-places and from
πετρωδέων, εἴτε ἁλυκοῖσι καὶ ἀτεράμνοισιν· καὶ τὴν γῆν,
rocky-places or salty and hard-to-cook and the earth
πότερον ψιλή τε καὶ ἄνυδρος, ἢ δασεῖα καὶ ἔφυδρος,
whether bare both and waterless or wooded and watered
καὶ εἴτε ἐν κοίλῳ ἐστὶ καὶ πνιγηρὴ, εἴτε μετέωρος καὶ
and whether in hollow it-is and stifling or lofty and
ψυχρή· καὶ τὴν δίαιταν τῶν ἀνθρώπων, ὁκοίῃ ἥδονται,
cold and the regimen of-the men which they-enjoy
πότερον φιλοπόται καὶ ἀριστηταὶ καὶ ἀταλαίπωροι, ἢ
whether wine-lovers and lunchers and unexerting or
φιλογυμνασταί τε καὶ φιλόπονοι, καὶ ἐδωδοὶ καὶ ἄποτοι.
lovers-of-exercise both and lovers-of-toil and great-eaters and non-drinkers
2 Καὶ ἀπὸ τουτέων χρὴ ἐνθυμέεσθαι ἕκαστα. Εἰ γὰρ ταῦτα
And from these one-must to-consider each-thing If for these-things
εἰδείη τις καλῶς, μάλιστα μὲν πάντα, εἰ δὲ μὴ, τά γε
should-know anyone well most indeed all if but not the at-least
πλεῖστα, οὐκ ἂν αὐτὸν λανθάνοι ἐς πόλιν ἀφικνεόμενον,
most not — him would-escape into a-city arriving

ἧς ἂν ἄπειρος ᾖ, οὔτε νουσήματα ἐπιχώρια,
of-which — inexperienced he-may-be neither diseases native
οὔτε τῶν κοινῶν ἡ φύσις ὁκοίη τίς ἐστιν· ὥστε μὴ
nor of-the common the nature of-what-sort — it-is so-that not
ἀπορέεσθαι ἐν τῇ θεραπείῃ τῶν νούσων, μηδὲ διαμαρτάνειν,
to-be-at-a-loss in the treatment of-the diseases nor to-err-badly
ἃ εἰκός ἐστι γίγνεσθαι, ἢν μή τις ταῦτα πρότερον
which likely is to-come-about if not anyone these-things beforehand
εἰδὼς προφροντίσῃ. Περὶ ἑκάστου δὲ, χρόνου προϊόντος
knowing takes-thought About each and time advancing
καὶ τοῦ ἐνιαυτοῦ, λέγοι ἂν ὁκόσα τε νουσήματα μέλλει
and of-the year he-could-tell — as-many-as both diseases are-going
πάγκοινα τὴν πόλιν κατασχήσειν ἢ θέρεος ἢ χειμῶνος,
common the city to-seize either in-summer or in-winter
ὁκόσα τε ἴδια ἑκάστῳ κίνδυνος γίγνεσθαι ἐκ μεταβολῆς
as-many-as both peculiar to-each danger to-come-about from change
τῆς διαίτης. Εἰδὼς γὰρ τῶν ὡρέων τὰς μεταβολὰς καὶ τῶν
of-the regimen Knowing for of-the seasons the changes and of-the
ἄστρων ἐπιτολάς τε καὶ δύσιας, καθότι ἕκαστον τουτέων
stars risings both and settings according-as each of-these
γίγνεται, προειδείη ἂν τὸ ἔτος ὁκοῖόν τι μέλλει
comes-about he-would-know-beforehand — the year of-what-kind — is-going
γίγνεσθαι. Οὕτως ἄν τις ἐρευνώμενος καὶ προγιγνώσκων
to-become So — anyone inquiring and foreknowing
τοὺς καιροὺς, μάλιστ' ἂν εἰδείη περὶ ἑκάστου, καὶ τὰ
the right-moments most — would-know about each and the
πλεῖστα τυγχάνοι τῆς ὑγιείης, καὶ κατ' ὀρθὸν φέροιτο
most-part would-hit-upon of-the health and on right would-go
οὐκ ἐλάχιστα ἐν τῇ τέχνῃ. Εἰ δὲ δοκέοι τις ταῦτα
not least in the art If and should-think anyone these-things
μετεωρολόγα εἶναι, εἰ μετασταίη τῆς γνώμης, μάθοι
meteorological to-be if he-should-change of-the opinion he-would-learn

ἂν ὅτι οὐκ ἐλάχιστον μέρος ξυμβάλλεται ἀστρονομίη ἐς
— that not least part contributes astronomy to
ἰητρικὴν, ἀλλὰ πάνυ πλεῖστον. Ἅμα γὰρ τῇσιν ὥρῃσι καὶ
medicine but very most With for the seasons also
αἱ κοιλίαι μεταβάλλουσι τοῖσιν ἀνθρώποισιν.
the bellies change for-the men

3 Ὅκως δὲ χρὴ ἕκαστα τῶν προειρημένων σκοπέειν καὶ
How and one-must each of-the aforesaid to-examine and
βασανίζειν, ἐγὼ φράσω σαφέως. Ἥτις μὲν πόλις πρὸς τὰ
to-test I will-tell clearly Whatever indeed city toward the
πνεύματα κέεται τὰ θερμά· ταῦτα δ' ἔσται μεταξὺ τῆς
winds lies the hot these-things and will-be between the
τε χειμερινῆς ἀνατολῆς τοῦ ἡλίου καὶ τῶν δυσμέων τῶν
both winter rising of-the sun and the settings the
χειμερινῶν· καὶ αὐτέῃ ταῦτα τὰ πνεύματά ἐστι ξύννομα,
winter and to-it these the winds are native
τῶν δὲ ἀπὸ τῶν ἄρκτων πνευμάτων σκέπη· ἐν ταύτῃ
from-the and from the Bears winds shelter in this
τῇ πόλει ἐστὶ τά τε ὕδατα πολλὰ καὶ ὕφαλα, καὶ ἀνάγκη
the city is the both waters many and brackish and necessity
εἶναι μετέωρα, τοῦ μὲν θέρεος θερμὰ, τοῦ δὲ χειμῶνος
to-be near-the-surface in-the indeed summer hot in-the and winter
ψυχρά· τούς τε ἀνθρώπους τὰς κεφαλὰς ὑγρὰς ἔχειν καὶ
cold the both men the heads moist to-have and
φλεγματώδεας, τάς τε κοιλίας αὐτέων πυκνὰ ἐκταράσσεσθαι,
phlegmy the both bellies of-them often to-be-disordered
ἀπὸ τῆς κεφαλῆς τοῦ φλέγματος ἐπικαταῤῥέοντος· τά τε
from the head of-the phlegm flowing-down the both
εἴδεα ἐπὶ τὸ πλῆθος αὐτέων ἀτονώτερα εἶναι· ἐσθίειν δ'
physiques for the most-part of-them rather-flabby to-be to-eat and
οὐκ ἀγαθοὺς εἶναι οὐδὲ πίνειν· ὁκόσοι μὲν γὰρ κεφαλὰς
not good to-be nor to-drink as-many-as indeed for heads

ἀσθενέας ἔχουσιν, οὐκ ἄν εἴησαν ἀγαθοὶ πίνειν· ἡ γὰρ
weak have not — would-be good to-drink the for
κραιπάλη μᾶλλον πιέζει· νουσήματά τε τάδε ἐπιχώρια εἶναι·
hangover more presses diseases both these native to-be
πρῶτον μὲν τὰς γυναῖκας νοσερὰς καὶ ῥοώδεας εἶναι· ἔπειτα
first indeed the women sickly and subject-to-flux to-be then
πολλὰς ἀτόκους ὑπὸ νούσου, καὶ οὐ φύσει, ἐκτιτρώσκεσθαί
many barren from disease and not by-nature to-miscarry
τε πυκνά· τοῖσί τε παιδίοισιν ἐπιπίπτειν σπασμοὺς καὶ
both often to-the both children to-befall convulsions and
ἄσθματα ἃ νομίζουσι τὸ παιδίον ποιέειν, καὶ ἱερὴν
asthmas which they-think the child to-cause and sacred
νοῦσον εἶναι· τοῖσι δὲ ἀνδράσι δυσεντερίας καὶ διαῤῥοίας
disease to-be to-the and men dysenteries and diarrheas
καὶ ἠπιάλους καὶ πυρετοὺς πολυχρονίους χειμερινοὺς καὶ
and agues and fevers long winter and
ἐπινυκτίδας πολλὰς καὶ αἱμορῥοΐδας ἐν τῇ ἕδρῃ.
night-pustules many and hemorrhoids in the seat
Πλευρίτιδες δὲ καὶ περιπλευμονίαι καὶ καῦσοι καὶ ὁκόσα
Pleurisies but and pneumonias and ardent-fevers and as-many-as
ὀξέα νουσήματα νομίζονται, οὐκ ἐγγίγνονται πολλά· οὐ γὰρ
acute diseases are-considered not occur many not for
οἷόν τε, ὅκου ἂν κοιλίαι ὑγραὶ ἔωσι, τὰς νούσους ταύτας
possible — where — bellies moist are the diseases these
ἰσχύειν. Ὀφθαλμίαι τε ἐγγίγνονται ὑγραὶ, καὶ οὐ χαλεπαὶ,
to-be-strong Eye-diseases both occur moist and not severe
ὀλιγοχρόνιοι, ἢν μή τι κατάσχῃ νούσημα πάγκοινον ἐκ
short-lived if not some prevails disease common from
μεταβολῆς. Καὶ ὁκόταν τὰ πεντήκοντα ἔτεα ὑπερβάλλωσι,
change And when the fifty years they-exceed
κατάῤῥοοι ἐπιγενόμενοι ἐκ τοῦ ἐγκεφάλου παραπληκτικοὺς
catarrhs supervening from the brain paralytic

ποιέουσι τοὺς ἀνθρώπους, ὁκόταν ἐξαίφνης ἡλιωθέωσι τὴν
make the men when suddenly they-are-sunstruck the
κεφαλὴν, ἢ ῥιγώσωσιν. Ταῦτα μὲν τὰ νουσήματα αὐτέοισιν
head or are-chilled These indeed the diseases for-them
ἐπιχώριά ἐστιν· χωρὶς δὲ, ἤν τι πάγκοινον κατάσχῃ
native are apart but if some common prevails
νούσημα ἐκ μεταβολῆς τῶν ὡρέων, καὶ τουτέου μετέχουσιν.
disease from change of-the seasons also in-this they-share
4 Ὁκόσαι δ' ἀντικέονται τουτέων πρὸς τὰ πνεύματα τὰ
As-many-as but lie-opposite to-these toward the winds the
ψυχρὰ, μεταξὺ τῶν δυσμέων τῶν θερινῶν τοῦ ἡλίου καὶ
cold between the settings the summer of-the sun and
τῆς ἀνατολῆς τῆς θερινῆς, καὶ αὐτέῃσι ταῦτα τὰ πνεύματα
the rising the summer and to-them these the winds
ἐπιχώριά ἐστιν, τοῦ δὲ νότου καὶ τῶν θερμῶν πνευμάτων
native are of-the but south-wind and the hot winds
σκέπη, ὧδε ἔχει περὶ τῶν πόλιων τουτέων. Πρῶτον μὲν τὰ
shelter thus it-is about the cities these First indeed the
ὕδατα σκληρά τε καὶ ψυχρὰ ὡς ἐπὶ τὸ πλῆθος ἐγγίγνεται.
waters hard both and cold as for the most-part occur
Τοὺς δὲ ἀνθρώπους ἐντόνους τε καὶ σκελιφροὺς ἀνάγκη εἶναι,
The and men sinewy both and lean necessity to-be
τούς τε πλείους τὰς κοιλίας ἀτεράμνους ἔχειν καὶ σκληρὰς
the both most the bellies hard-to-move to-have and hard
τὰς κάτω, τὰς δὲ ἄνω εὐροωτέρας· χολώδεάς τε μᾶλλον
the lower the but upper freer-flowing bilious both rather
ἢ φλεγματίας εἶναι. Τὰς δὲ κεφαλὰς ὑγιηρὰς ἔχουσι καὶ
than phlegmatic to-be The and heads healthy they-have and
σκληράς· ῥηγματίαι τε εἰσὶν ἐπὶ τὸ πλῆθος. Νοσεύματα
hard subject-to-ruptures both are for the most-part Diseases
δὲ αὐτέοισιν ἐπιδημέει ταῦτα, πλευρίτιδές τε πολλαὶ, αἵ
and among-them are-prevalent these pleurisies both many the

τε ὀξεῖαι νομιζόμεναι νοῦσοι. Ἀνάγκη δὲ ὧδε ἔχειν, ὁκόταν
and acute considered diseases Necessity and so to-be when
κοιλίαι σκληραὶ ἔωσιν· ἔμπυοί τε πολλοὶ γίγνονται ἀπὸ
bellies hard are suppurating both many become from
πάσης προφάσιος· τουτέου δὲ αἴτιόν ἐστι τοῦ σώματος
every cause of-this and cause is of-the body
ἡ ἔντασις, καὶ ἡ σκληρότης τῆς κοιλίης· ἡ γὰρ ξηρότης
the tension and the hardness of-the belly the for dryness
ῥηγματίας ποιέει εἶναι, καὶ τοῦ ὕδατος ἡ ψυχρότης.
subject-to-ruptures makes to-be and of-the water the coldness
Ἐδωδοὺς δὲ ἀνάγκη τὰς τοιαύτας φύσιας εἶναι, καὶ οὐ
Great-eaters and necessity the such natures to-be and not
πολυπότας· οὐ γὰρ οἷόν τε ἅμα πολυβόρους τε εἶναι
great-drinkers not for possible — at-once gluttons both to-be
καὶ πολυπότας· ὀφθαλμίας τε γίγνεσθαι μὲν διὰ χρόνου,
and great-drinkers ophthalmias both to-come-about indeed at intervals
γίγνεσθαι δὲ σκληρὰς καὶ ἰσχυρὰς, καὶ εὐθέως ῥήγνυσθαι
to-come-about but hard and strong and at-once to-burst
τὰ ὄμματα· αἱμορῥοίας δὲ ἐκ τῶν ῥινέων τοῖσι νεωτέροισι
the eyes hemorrhages and from the nostrils to-those younger
τριήκοντα ἐτέων γίγνεσθαι ἰσχυρὰς τοῦ θέρεος· τά τε
than-thirty years to-come-about strong in-the summer the both
ἱερὰ νοσεύματα καλεύμενα, ὀλίγα μὲν ταῦτα, ἰσχυρὰ δέ.
sacred diseases called few indeed these strong but
Μακροβίους δὲ τοὺς ἀνθρώπους τουτέους μᾶλλον εἰκὸς
Long-lived and the men these more likely
εἶναι ἑτέρων· τά τε ἕλκεα οὐ φλεγματώδεα ἐγγίγνεσθαι,
to-be than-others the both sores not phlegmy to-occur
οὐδὲ ἀγριοῦσθαι· τά τε ἤθεα ἀγριώτερα ἢ ἡμερώτερα.
nor to-become-malignant the both characters wilder than tamer
Τοῖσι μὲν ἀνδράσι ταῦτα τὰ νουσήματα ἐπιχώριά ἐστιν·
For-the indeed men these the diseases native are

καὶ χωρὶς, ἤν τι πάγκοινον κατάσχῃ ἐκ μεταβολῆς
and apart if some common prevails from change
τῶν ὡρέων· τῇσι δὲ γυναιξὶ, πρῶτον μὲν στρυφναὶ
of-the seasons for-the and women first indeed constricted
πολλαὶ γίγνονται διὰ τὰ ὕδατα ἐόντα σκληρά τε καὶ
many become because-of the waters being hard both and
ἀτέραμνα καὶ ψυχρά· αἱ γὰρ καθάρσιες οὐκ ἐπιγίγνονται
hard-to-cook and cold the for purgations not supervene
τῶν ἐπιμηνίων ἐπιτήδειαι, ἀλλὰ ὀλίγαι καὶ πονηραί.
of-the menses suitable but few and bad
Ἔπειτα τίκτουσι χαλεπῶς· ἐκτιτρώσκουσί τε οὐ σφόδρα.
Then they-give-birth with-difficulty they-miscarry both not much
Ὁκόταν δὲ τέκωσι, τὰ παιδία ἀδύνατοι τρέφειν εἰσίν· τὸ
When and they-bear the children unable to-nourish are the
γὰρ γάλα ἀποσβέννυται ἀπὸ τῶν ὑδάτων τῆς σκληρότητος
for milk is-quenched from of-the waters the hardness
καὶ ἀτεραμνίης· φθίσιές τε γίγνονται συχναὶ ἀπὸ τῶν
and indigestibility consumptions both come-about frequent from the
τοκετῶν· ὑπὸ γὰρ βίης ῥήγματα ἴσχουσι καὶ σπάσματα.
childbirths by for force ruptures they-get and strains
Τοῖσι δὲ παιδίοισιν ὕδρωπες ἐγγίγνονται ἐν τοῖσιν
In-the and children dropsies occur in the
ὄρχεσιν, ἕως σμικρὰ ᾖ· ἔπειτα, προϊούσης τῆς ἡλικίης,
testicles while small they-are then advancing the age
ἀφανίζονται· ἡβῶσί τε ὀψὲ ἐν ταύτῃ τῇ πόλει. Περὶ
they-disappear they-reach-puberty both late in this the city About
μὲν οὖν τῶν θερμῶν πνευμάτων καὶ τῶν ψυχρῶν καὶ
indeed then the hot winds and the cold and
τῶν πόλιων τουτέων ὧδε ἔχει ὡς προείρηται.
the cities these thus it-is as has-been-said

Ὁκόσαι δὲ κέονται πρὸς τὰ πνεύματα τὰ μεταξὺ τῶν 5
As-many-as and lie toward the winds the between the
θερινῶν ἀνατολέων τοῦ ἡλίου καὶ τῶν χειμερινῶν, καὶ
summer risings of-the sun and the winter and
ὁκόσαι τὸ ἐναντίον τουτέων, ὧδε ἔχει περὶ αὐτέων.
as-many-as the opposite of-these thus it-is about them
Ὁκόσαι μὲν πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου κέονται,
As-many-as indeed toward the risings of-the sun lie
ταύτας εἰκὸς εἶναι ὑγιεινοτέρας τῶν πρὸς τὰς ἄρκτους
these likely to-be healthier than-those toward the Bears
ἐστραμμένων, καὶ τῶν πρὸς τὰ θερμὰ, ἢν καὶ στάδιον τὸ
turned and those toward the hot-winds if even a-stade the
μεταξὺ ᾖ. Πρότερον μὲν γὰρ μετριώτερον ἔχει τὸ θερμὸν καὶ
between is First indeed for more-moderately has the hot and
τὸ ψυχρόν. Ἔπειτα τὰ ὕδατα ὁκόσα πρὸς τὰς τοῦ ἡλίου
the cold Then the waters as-many-as toward the of-the sun
ἀνατολάς ἐστι, ταῦτα λαμπρά τε εἶναι ἀνάγκη καὶ εὐώδεα
risings are these clear both to-be necessity and sweet-smelling
καὶ μαλακὰ καὶ ἐρατεινὰ ἐγγίγνεσθαι ἐν ταύτῃ τῇ πόλει. Ὁ
and soft and lovely to-occur in this the city The
γὰρ ἥλιος κωλύει ἀνίσχων καὶ καταλάμπων· τὸ γὰρ ἑωθινὸν
for sun prevents rising and shining-down the for morning
ἑκάστοτε αὐτὸς ὁ ἠὴρ ἐπέχει ὡς ἐπὶ τὸ πουλύ. Τά τε εἴδεα
each-time itself the mist holds as for the most The both forms
τῶν ἀνθρώπων εὔχροά τε καὶ ἀνθηρὰ ἐστὶ μᾶλλον, ἢν μή
of-the men well-colored both and blooming are more if not
τις νοῦσος κωλύῃ. Λαμπρόφωνοί τε οἱ ἄνθρωποι, ὀργήν
some disease prevents Clear-voiced both the men temper
τε καὶ ξύνεσιν βελτίους εἰσὶ τῶν πρὸς βορέην, ἤπερ καὶ
both and intelligence better are than-those toward north as also
τὰ ἄλλα τὰ ἐμφυόμενα ἀμείνω ἐστίν. Ἔοικέ τε μάλιστα
the other-things the growing-there better are It-resembles both most

ἡ οὕτω κειμένη πόλις ἦρι κατὰ τὴν μετριότητα τοῦ
the so situated city spring according-to the moderation of-the
θερμοῦ καὶ τοῦ ψυχροῦ· τά τε νοσεύματα ἐλάσσω μὲν
hot and of-the cold the both diseases fewer indeed
γίγνεται καὶ ἀσθενέστερα, ἔοικε δὲ τοῖσιν ἐν τῇσι πόλεσι
come-about and weaker it-resembles but to-the in the cities
γενομένοισι νοσεύμασι, τῇσι πρὸς τὰ θερμὰ τὰ πνεύματα
arising diseases the toward the hot the winds
ἐστραμμένῃσιν. Αἵ τε γυναῖκες αὐτόθι ἀρικύμονές εἰσι
turned The both women there conceive-easily are
σφόδρα, καὶ τίκτουσι ῥηϊδίως. Περὶ μὲν τουτέων ὧδε ἔχει.
very and give-birth easily About indeed these-things thus it-is

6 Ὁκόσαι δὲ πρὸς τὰς δύσιας κέονται, καὶ αὐτέῃσίν ἐστι
As-many-as but toward the settings lie and for-them is
σκέπη τῶν πνευμάτων τῶν ἀπὸ τῆς ἠοῦς πνεόντων, τά τε
shelter from-the winds those from the dawn blowing the both
θερμὰ πνεύματα παραῤῥέει καὶ τὰ ψυχρὰ ἀπὸ τῶν ἄρκτων,
hot winds flow-past and the cold from the Bears
ἀνάγκη ταύτας τὰς πόλιας θέσιν κέεσθαι νοσερωτάτην·
necessity these the cities position to-lie most-unhealthy
πρῶτον μὲν γὰρ τὰ ὕδατα οὐ λαμπρά· αἴτιον δὲ, ὅτι ὁ
first indeed for the waters not clear cause and that the
ἠὴρ τὸ ἑωθινὸν κατέχει ὡς ἐπὶ τὸ πουλὺ, ὅστις τῷ ὕδατι
mist the morning holds as for the most which with-the water
ἐγκαταμιγνύμενος τὸ λαμπρὸν ἀφανίζει· ὁ γὰρ ἥλιος πρὶν
mixing-in the clearness destroys the for sun before
ἄνω ἀρθῆναι οὐκ ἐπιλάμπει. Τοῦ δὲ θέρεος, ἔωθεν μὲν
up to-be-raised not shines-on In-the and summer in-the-morning indeed
αὖραι ψυχραὶ πνέουσι, καὶ δρόσοι πίπτουσιν· τὸ δὲ λοιπὸν
breezes cold blow and dews fall the but rest
ἥλιος ἐγκαταδύνων ὥστε μάλιστα διέψει τοὺς ἀνθρώπους,
the-sun setting-into so-that most it-boils the men

διὸ καὶ ἀχρόους τε εἰκὸς εἶναι καὶ ἀῤῥώστους, τῶν
therefore also colorless both likely to-be and sickly of-the
τε νοσευμάτων πάντων μετέχειν μέρος τῶν προειρημένων·
both diseases all to-share part of-the aforesaid
οὐδὲν αὐτέοισιν ἀποκέκριται. Βαρυφώνους τε εἰκὸς εἶναι
none for-them is-set-apart Deep-voiced both likely to-be
καὶ βραγχώδεας διὰ τὸν ἠέρα, ὅτι ἀκάθαρτος ὡς ἐπὶ
and hoarse because-of the air because impure as for
τὸ πουλὺ αὐτόθι γίγνεται καὶ νοσώδης· οὔτε γὰρ ὑπὸ τῶν
the most there becomes and diseased neither for by the
βορείων ἐκκρίνεται σφόδρα· οὐ γὰρ προσέχουσι τὰ πνεύματα·
north-winds is-purified much not for they-reach the winds
ἅ τε προσέχουσιν αὐτέοισι καὶ προσκέονται, ὑδατεινότατά
which both reach them and lie-on most-watery
ἐστιν· ἐπεὶ τοιαῦτα τὰ ἐπὶ τῆς ἑσπέρης πνεύματα· ἔοικέ
are since such the from the west winds it-resembles
τε μετοπώρῳ μάλιστα ἡ θέσις ἡ τοιαύτη τῆς πόλιος
both autumn most the position the such of-the city
κατὰ τὰς τῆς ἡμέρης μεταβολὰς, ὅτι πουλὺ τὸ μέσον
according-to the of-the day changes because much the middle
γίγνεται τοῦ τε ἑωθινοῦ καὶ τοῦ πρὸς τὴν δείλην. Περὶ μὲν
becomes of-the both morning and of-the toward the afternoon About indeed
πνευμάτων, ἅ τέ ἐστιν ἐπιτήδεια καὶ ἀνεπιτήδεια, ὧδε ἔχει.
winds which both are suitable and unsuitable thus it-is

Marshy and stagnant waters are bad in every season, enlarging the spleen and breeding dropsy and dysentery; waters from rock or mineral ground are hard, and waters flowing from high ground are best, especially those facing the sunrise. Rain water is lightest but must be boiled. Waters from snow and ice are bad, and mixed waters breed stone. The weather of each season foretells the year's diseases, and the physician must guard against the solstices, the equinoxes, and the risings of the stars, when diseases reach their crisis, giving no drug, cautery, or knife near them.

7 Περὶ δὲ τῶν λοιπῶν ὑδάτων βούλομαι διηγήσασθαι, ἅ
About and the remaining waters I-wish to-relate which
τέ ἐστι νοσώδεα, καὶ ἃ ὑγιεινότατα, καὶ ὁκόσα ἀφ᾽
both are unhealthy and which healthiest and as-many-as from
ὕδατος κακὰ εἰκὸς γίγνεσθαι, καὶ ὅσα ἀγαθά· πλεῖστον
water evils likely to-come-about and as-many-as goods most
γὰρ μέρος ξυμβάλλεται ἐς τὴν ὑγιείην. Ὁκόσα μὲν οὖν
for part it-contributes to the health As-many-as indeed then
ἐστιν ἑλώδεα καὶ στάσιμα καὶ λιμναῖα, ταῦτα ἀνάγκη
are marshy and stagnant and lake-waters these necessity
τοῦ μὲν θέρεος εἶναι θερμὰ καὶ παχέα καὶ ὀδμὴν ἔχοντα,
in-the indeed summer to-be hot and thick and smell having
ἅτε οὐκ ἀπόῤῥυτα ἐόντα· ἀλλὰ τοῦ τε ὀμβρίου ὕδατος
as not running-off being but of-the both rain water
ἐπιτρεφομένου αἰεὶ νέου, τοῦ τε ἡλίου καίοντος, ἀνάγκη
being-fed-in always new of-the both sun burning necessity
ἄχροά τε εἶναι καὶ πονηρὰ καὶ χολώδεα· τοῦ δὲ χειμῶνος,
colorless both to-be and bad and bilious in-the but winter
παγετώδεά τε καὶ ψυχρὰ καὶ τεθολωμένα ὑπό τε χιόνος καὶ
icy both and cold and muddied by both snow and
παγετῶν, ὥστε φλεγματωδέστατα εἶναι καὶ βραγχωδέστατα·
frosts so-that most-phlegmy to-be and most-hoarse-making

τοῖσι δὲ πίνουσι σπλῆνας μὲν αἰεὶ μεγάλους εἶναι καὶ
for-those and drinking spleens indeed always large to-be and
μεμυωμένους, καὶ τὰς γαστέρας σκληράς τε καὶ λεπτὰς καὶ
hardened and the bellies hard both and thin and
θερμὰς, τοὺς δὲ ὤμους καὶ τὰς κληῖδας καὶ τὸ πρόσωπον
hot the and shoulders and the collarbones and the face
καταλελεπτύσθαι· ἐς γὰρ τὸν σπλῆνα αἱ σάρκες ξυντήκονται,
to-be-wasted into for the spleen the flesh melts-away
διότι ἰσχνοί εἰσιν· ἐδωδούς τε εἶναι τοὺς τοιουτέους καὶ
because lean they-are great-eaters both to-be the such and
διψηρούς· τάς τε κοιλίας ξηροτάτας καὶ τὰς ἄνω καὶ τὰς
thirsty the both bellies driest both the upper and the
κάτω ἔχειν, ὥστε τῶν φαρμάκων ἰσχυροτέρων δέεσθαι.
lower to-have so-that of-the drugs stronger to-need
Τοῦτο μὲν τὸ νούσημα αὐτέοισι ξύντροφόν ἐστι καὶ θέρεος
This indeed the disease for-them constant is both in-summer
καὶ χειμῶνος. Πρὸς δὲ τουτέοισιν οἱ ὕδρωπες πλεῖστοί τε
and in-winter Besides and these the dropsies most both
γίγνονται καὶ θανατωδέστατοι· τοῦ γὰρ θέρεος δυσεντερίαι
come-about and most-deadly in-the for summer dysenteries
τε πολλαὶ ἐμπίπτουσι καὶ διάῤῥοιαι καὶ πυρετοὶ τεταρταῖοι
both many fall-upon-them and diarrheas and fevers quartan
πολυχρόνιοι· ταῦτα δὲ τὰ νοσεύματα μηκυνθέντα τὰς
long these and the diseases prolonged the
τοιαύτας φύσιας ἐς ὕδρωπας καθίστησι καὶ ἀποκτείνει.
such natures into dropsies set and kill
Ταῦτα μὲν αὐτέοισι τοῦ θέρεος γίγνεται· τοῦ δὲ χειμῶνος,
These-things indeed for-them in-the summer come-about in-the and winter
τοῖσι νεωτέροισι μὲν περιπλευμονίαι τε καὶ μανιώδεα
to-the younger indeed pneumonias both and maniacal
νοσεύματα· τοῖσι δὲ πρεσβυτέροισι, καῦσοι, διὰ τὴν τῆς
diseases to-the and older ardent-fevers because-of the of-the

κοιλίης σκληρότητα. Τῆσι δὲ γυναιξὶν οἰδήματα ἐγγίγνεται
belly hardness To-the and women swellings occur
καὶ φλέγμα λευκόν· καὶ ἐν γαστρὶ ἴσχουσι μόλις, καὶ
and phlegm white and in belly they-conceive with-difficulty and
τίκτουσι χαλεπῶς· μεγάλα τε τὰ ἔμβρυα καὶ οἰδέοντα·
give-birth with-difficulty large both the fetuses and swollen
ἔπειτα ἐν τῇσι τροφῇσι φθινώδεά τε καὶ πονηρὰ γίγνεται·
then in the nursings wasting both and wretched they-become
ἥ τε κάθαρσις τῇσι γυναιξὶν οὐκ ἐπιγίγνεται χρηστὴ μετὰ
the both purgation for-the women not supervenes good after
τὸν τόκον. Τοῖσι δὲ παιδίοισι κῆλαι ἐπιγίγνονται μάλιστα,
the birth To-the and children hernias supervene most
καὶ τοῖσιν ἀνδράσι κίρσοι καὶ ἕλκεα ἐν τῇσι κνήμῃσιν,
and to-the men varicose-veins and ulcers on the shins
ὥστε τὰς τοιαύτας φύσιας οὐχ οἷόν τε μακροβίους εἶναι,
so-that the such natures not possible — long-lived to-be
ἀλλὰ προγηράσκειν τοῦ χρόνου τοῦ ἱκνευμένου.
but to-grow-old-before the time the due
Ἔτι δὲ αἱ γυναῖκες δοκέουσιν ἔχειν ἐν γαστρὶ, καὶ ὁκόταν
Further and the women seem to-have in belly and when
ὁ τόκος ᾖ, ἀφανίζεται τὸ πλήρωμα τῆς γαστρός· τοῦτο δὲ
the birth is vanishes the fullness of-the belly this and
γίγνεται ὁκόταν ὑδροπιήσωσιν αἱ ὑστέραι. Τὰ μὲν τοιαῦτα
comes-about when are-dropsical the wombs The-ones indeed such
ὕδατα νομίζω μοχθηρὰ εἶναι πρὸς ἅπαν χρῆμα· δεύτερα δὲ,
waters I-think bad to-be for every purpose second and
ὅσων εἶεν αἱ πηγαὶ ἐκ πετρέων· σκληρὰ γὰρ ἀνάγκη εἶναι·
of-which may-be the springs from rocks hard for necessity to-be
ἢ ἐκ γῆς ὅκου θερμὰ ὕδατά ἐστιν, ἢ σίδηρος γίγνεται,
or from earth where hot waters are or iron comes-about
ἢ χαλκὸς, ἢ ἄργυρος, ἢ χρυσὸς, ἢ θεῖον, ἢ στυπτηρίη, ἢ
or copper or silver or gold or sulfur or alum or

ἄσφαλτον, ἢ νίτρον· ταῦτα γὰρ πάντα ὑπὸ βίης γίγνονται
bitumen or soda these-things for all by force come-about
τοῦ θερμοῦ. Οὐ τοίνυν οἷόν τε ἐκ τοιαύτης γῆς ὕδατα ἀγαθὰ
of-the heat Not therefore possible — from such earth waters good
γίγνεσθαι, ἀλλὰ σκληρά τε καὶ καυσώδεα, διουρέεσθαί
to-come-about but hard both and heating to-pass-through-as-urine
τε χαλεπὰ καὶ πρὸς τὴν διαχώρησιν ἐναντία εἶναι. Ἄριστα
both difficult and toward the evacuation opposed to-be Best
δὲ, ὁκόσα ἐκ μετεώρων χωρίων ῥέει καὶ λόφων γεηρῶν·
to-be-sheltered the for winter prevents and of-the earth the bareness
καὶ ὅτι οὐκ ἔστιν ἀλέη οὐδὲ σκέπη. Αἱ γὰρ μεταβολαὶ
and because not there-is warmth nor shelter The for changes
τῶν ὡρέων οὐκ εἰσὶ μεγάλαι οὐδὲ ἰσχυραὶ, ἀλλ' ὅμοιαι
of-the seasons not are great nor strong but alike
καὶ ὀλίγον μεταβάλλουσαι· διότι καὶ τὰ εἴδεα ὅμοια αὐτὰ
and little changing therefore also the forms alike they
ἑωυτέοισίν εἰσιν· σίτῳ τε χρέονται αἰεὶ ὁμοίως, ἐσθῆτί
themselves are with-food both they-use always alike with-clothing
τε αὐτέῃ καὶ θέρεος καὶ χειμῶνος, τόν τε ἠέρα ὑδατεινὸν
both the-same both in-summer and in-winter the both air watery
ἕλκοντες καὶ παχὺν, τά τε ὕδατα πίνοντες ἀπὸ χιόνος καὶ
drawing-in and thick the both waters drinking from snow and
παγετῶν, τοῦ τε ταλαιπώρου ἀπεόντος· οὐ γὰρ οἷόν τε
frosts the both toil being-absent not for possible —
τὸ σῶμα ταλαιπωρέεσθαι, οὐδὲ τὴν ψυχὴν, ὅκου μεταβολαὶ
the body to-be-exercised nor the soul where changes

μὴ γίγνονται ἰσχυραί. Διὰ ταύτας τὰς ἀνάγκας τὰ εἴδεα
not come-about strong Because-of these the necessities the forms
αὐτέων παχέα ἐστὶ καὶ σαρκώδεα, καὶ ἄναρθρα καὶ ὑγρὰ
of-them thick are and fleshy and jointless and moist
καὶ ἄτονα· αἵ τε κοιλίαι ὑγρόταται, πασέων κοιλιῶν αἱ
and slack the both bellies moistest of-all bellies the
κάτω· οὐ γὰρ οἷόν τε νηδὺν ἀναξηραίνεσθαι ἐν τοιαύτῃ
lower not for possible — abdomen to-be-dried-out in such
χώρῃ καὶ φύσει καὶ ὥρης καταστάσει· ἀλλὰ διὰ
land and nature and of-season condition but because-of
πιμελήν τε καὶ ψιλὴν τὴν σάρκα, τά τε εἴδεα ἔοικεν
fat both and bare the flesh the both forms resemble
ἀλλήλοισι, τά τε ἄρσενα τοῖσιν ἄρσεσι, καὶ τὰ θήλεα
one-another the both males the males and the females
τοῖσι θήλεσιν. Τῶν γὰρ ὡρέων παραπλησίων ἐουσέων,
the females Of-the for seasons nearly-alike being
φθοραὶ οὐκ ἐγγίγνονται οὐδὲ κακώσιες ἐν τῇ τοῦ γόνου
corruptions not occur nor damages in the of-the seed
ξυμπήξει, ἢν μή τινος ἀνάγκης βιαίου τύχῃ ἢ νούσου.
compacting if not of-some necessity violent it-meets or disease
Μέγα δὲ τεκμήριον ἐς τὴν ὑγρότητα παρέξομαι. Σκυθέων 20
Great and proof for the moistness I-will-provide of-Scythians
γὰρ τοὺς πολλοὺς, ἅπαντας ὅσοι Νομάδες, εὑρήσεις
for the many all as-many-as Nomads you-will-find
κεκαυμένους τούς τε ὤμους καὶ τοὺς βραχίονας καὶ τοὺς
cauterized the both shoulders and the arms and the
καρποὺς τῶν χειρέων, καὶ τὰ στήθεα, καὶ τὰ ἰσχία καὶ
wrists of-the hands and the breasts and the hips and
τὴν ὀσφὺν, δι᾽ ἄλλ᾽ οὐδὲν ἢ διὰ τὴν ὑγρότητα τῆς
the loin because-of other nothing than because-of the moistness of-the
φύσιος καὶ τὴν μαλακίην· οὐ γὰρ δύνανται οὔτε τοῖσι τόξοισι
nature and the softness not for they-can either with-the bows

ξυντείνειν, οὔτε τῷ ἀκοντίῳ ἐμπίπτειν τῷ ὤμῳ ὑπὸ
to-draw-tight or with-the javelin to-thrust with-the shoulder through
ὑγρότητος καὶ ἀτονίης· ὁκόταν δὲ καυθῶσιν, ἀναξηραίνεται
moistness and slackness when but they-are-cauterized is-dried-out
ἐκ τῶν ἄρθρων τὸ πολὺ τοῦ ὑγροῦ, καὶ ἐντονώτερα μᾶλλον
from the joints the much of-the moist and more-sinewy more
γίγνεται, καὶ τροφιμώτερα, καὶ ἠρθρωμένα τὰ σώματα
become and better-nourished and well-jointed the bodies
μᾶλλον. Ῥοϊκὰ δὲ γίγνεται καὶ πλατέα· πρῶτον μὲν ὅτι
more Flabby and they-become and broad first indeed because
οὐ σπαργανοῦνται ὥσπερ ἐν Αἰγύπτῳ, οὐδὲ νομίζουσι
not they-are-swaddled as in Egypt nor do-they-think-it-right
διὰ τὴν ἱππασίην, ὅκως ἂν εὖεδροι ἔωσιν· ἔπειτα δὲ
because-of the horse-riding so-that — firm-in-the-seat they-may-be then and
διὰ τὴν ἕδρην· τά τε γὰρ ἄρσενα, ἕως ἂν οὐχ οἷά τε ἐφ'
because-of the sitting the both for males until — not able — on
ἵππου ὀχέεσθαι, τὸ πολὺ τοῦ χρόνου κάθηται ἐν τῇ ἁμάξῃ,
horse to-ride the most of-the time sits in the wagon
καὶ βραχὺ τῇ βαδίσει χρέονται, διὰ τὰς μεταναστάσιας
and little the walking use because-of the migrations
καὶ περιελάσιας· τὰ δὲ θήλεα θαυμαστὸν οἷον ῥοϊκὰ καὶ
and wanderings the and females wonderful how flabby and
βραδέα εἶναι τὰ εἴδεα. Πυῤῥὸν δὲ τὸ γένος ἐστὶ τὸ Σκυθικὸν
slow to-be the forms Red and the race is the Scythian
διὰ τὸ ψύχος, οὐκ ἐπιγιγνομένου ὀξέως τοῦ ἡλίου· ὑπὸ
because-of the cold not coming-on sharply of-the sun by
δὲ τοῦ ψύχεος ἡ λευκότης ἐπικαίεται καὶ γίγνεται πυῤῥή.
and the cold the whiteness is-burned and becomes red

The Scythians are not prolific, the men from a moist, cold belly and constant riding, the women from fat. Many of their men become impotent and live as women; the natives blame a god, but every disease is divine and natural alike, and this one comes from riding and from cutting the veins behind the ears, so it strikes the rich, who ride, not the poor. Europeans differ more among themselves than Asians because their seasons change more, and change and free laws breed courage. Where the land is rich, the people are fleshy and idle; where it is bare, they are hard and wakeful.

Πολύγονον δὲ οὐχ οἷόν τε εἶναι φύσιν τοιαύτην· οὔτε γὰρ 21
Prolific and not possible — to-be nature such neither for
τῷ ἀνδρὶ ἡ ἐπιθυμίη τῆς μίξιος γίγνεται πολλὴ διὰ
in-the man the desire of-the intercourse comes-about much because-of
τὴν ὑγρότητα τῆς φύσιος καὶ τῆς κοιλίης τὴν μαλθακότητά
the moistness of-the nature and of-the belly the softness
τε καὶ τὴν ψυχρότητα, ἀπὸ τῶν ἥκιστα εἰκὸς εἶναι ἄνδρα
both and the coldness from which least likely to-be a-man
οἷόν τε λαγνεύειν· καὶ ἔτι ὑπὸ τῶν ἵππων αἰεὶ κοπτόμενοι,
able — to-have-sex and further by the horses always jolted
ἀσθενέες γίγνονται ἐς τὴν μίξιν. Τοῖσι μὲν ἀνδράσιν αὗται
weak they-become for the intercourse For-the indeed men these
αἱ προφάσιες γίγνονται· τῇσι δὲ γυναιξὶν ἥ τε πιότης τῆς
the causes come-about for-the but women the both fatness of-the
σαρκὸς καὶ ὑγρότης· οὐ γὰρ δύνανται ἔτι ξυναρπάζειν
flesh and moistness not for can any-longer to-seize
αἱ μῆτραι τὸν γόνον· οὔτε γὰρ ἐπιμήνιος κάθαρσις αὐτέῃσι
the wombs the seed nor for monthly purgation to-them
γίγνεται ὡς χρεών ἐστιν, ἀλλ᾽ ὀλίγον καὶ διὰ χρόνου· τό
comes-about as needful is but little and at intervals the
τε στόμα τῶν μητρέων ὑπὸ πιμελῆς ξυγκλείεται, καὶ οὐχ
both mouth of-the wombs by fat is-closed and not

ὑποδέχεται τὸν γόνον· αὐταί τε ἀταλαίπωροι καὶ πίεραι,
receives the seed they both unexercised and fat
καὶ αἱ κοιλίαι ψυχραὶ καὶ μαλακαί. Καὶ ὑπὸ τουτέων τῶν
and the bellies cold and soft And by these the
ἀναγκέων οὐ πολύγονόν ἐστι τὸ γένος τὸ Σκυθικόν. Μέγα
necessities not prolific is the race the Scythian Great
δὲ τεκμήριον αἱ οἰκέτιδες ποιέουσιν· οὐ γὰρ φθάνουσι
and proof the slave-women provide not for they-have-time
παρὰ ἄνδρα ἀφικνεύμεναι, καὶ ἐν γαστρὶ ἴσχουσι διὰ
to a-man arriving and in belly they-conceive because-of
τὴν ταλαιπωρίην καὶ ἰσχνότητα τῆς σαρκός.
the toil and leanness of-the flesh

22 Ἔτι τε πρὸς τουτέοισιν εὐνουχίαι γίγνονται οἱ πλεῖστοι
Further both besides these eunuchs become the most
ἐν Σκύθῃσι, καὶ γυναικεῖα ἐργάζονται, καὶ ὡς αἱ γυναῖκες
among Scythians and women's-work they-do and like the women
διαλέγονται ὁμοίως· καλεῦνταί τε οἱ τοιοῦτοι ἀνανδριεῖς. Οἱ
they-talk likewise are-called and the such unmanly The
μὲν ἐπιχώριοι τὴν αἰτίην προστιθέασι θεῷ, καὶ σέβονται
indeed natives the cause attribute to-a-god and revere
τουτέους τοὺς ἀνθρώπους καὶ προσκυνέουσι, δεδοικότες
these the men and worship fearing
περὶ ἑωυτέων ἕκαστοι. Ἐμοὶ δὲ καὶ αὐτέῳ δοκέει ταῦτα
about themselves each To-me and also myself seem these
τὰ πάθεα θεῖα εἶναι καὶ τἄλλα πάντα, καὶ οὐδὲν ἕτερον
the afflictions divine to-be and the-others all and none one
ἑτέρου θειότερον οὐδὲ ἀνθρωπινώτερον, ἀλλὰ πάντα ὅμοια
than-another more-divine nor more-human but all alike
καὶ πάντα θεῖα· ἕκαστον δὲ ἔχει φύσιν τῶν τοιουτέων,
and all divine each and has nature of-the such
καὶ οὐδὲν ἄνευ φύσιος γίγνεται. Καὶ τοῦτο τὸ πάθος, ὥς
and nothing without nature comes-about And this the affliction as

μοι δοκέει γίγνεσθαι, φράσω· ὑπὸ τῆς ἱππασίης αὐτέους
to-me it-seems to-come-about I-will-tell by the horse-riding them
κέδματα λαμβάνει, ἅτε αἰεὶ κρεμαμένων ἀπὸ τῶν ἵππων
swellings seize as always hanging from the horses
τοῖσι ποσίν· ἔπειτα ἀποχωλοῦνται καὶ ἕλκονται τὰ ἰσχία
with-the feet then they-become-lame and are-ulcerated the hips
οἳ ἂν σφόδρα νοσήσωσιν. Ἰῶνται δὲ σφᾶς αὐτέους
those-who — severely fall-ill They-cure and them themselves
τρόπῳ τοιῷδε· ὁκόταν ἄρχηται ἡ νοῦσος, ὄπισθεν τοῦ
in-manner such when begins the disease behind the
ὠτὸς ἑκατέρην φλέβα τάμνουσιν· ὅταν δὲ ἀποῤῥυῇ τὸ αἷμα,
ear each vein they-cut when and has-flowed-off the blood
ὕπνος ὑπολαμβάνει ὑπὸ ἀσθενείης, καὶ καθεύδουσιν· ἔπειτα
sleep takes-over from weakness and they-sleep then
ἀνεγείρονται, οἱ μέν τινες ὑγιέες ἐόντες, οἱ δ' οὔ.
they-wake-up the-ones indeed some healthy being the-others but not
Ἐμοὶ μὲν οὖν δοκέει ἐν ταύτῃ τῇ ἰήσει διαφθείρεσθαι ὁ
To-me indeed then it-seems in this the cure to-be-destroyed the
γόνος· εἰσὶ γὰρ παρὰ τὰ ὦτα φλέβες, ἃς ἐάν τις
seed there-are for beside the ears veins which if anyone
ἐπιτάμῃ, ἄγονοι γίγνονται οἱ ἐπιτμηθέντες· ταύτας τοίνυν
cuts barren become those having-been-cut these therefore
μοι δοκέουσι τὰς φλέβας ἐπιτάμνειν. Οἱ δὲ μετὰ ταῦτα,
to-me they-seem the veins to-cut They and after these-things
ἐπειδὰν ἀφίκωνται παρὰ γυναῖκας, καὶ μὴ οἷοί τε ἔωσι
when they-come to women and not able — are
χρέεσθαι σφίσιν, τὸ πρῶτον οὐκ ἐνθυμεῦνται, ἀλλ' ἡσυχίην
to-use them the first not they-consider but quiet
ἔχουσιν· ὁκόταν δὲ δὶς καὶ τρὶς καὶ πλεονάκις αὐτέοισι
they-keep when but twice and thrice and more-often to-them
πειρωμένοισι μηδὲν ἀλλοιότερον ἀποβαίνῃ, νομίσαντές τι
trying nothing different results believing something

ἡμαρτηκέναι τῷ θεῷ· ὃν ἐπαιτιῶνται, ἐνδύονται στολὴν
to-have-sinned against-the god whom they-blame they-put-on dress
γυναικείην, καταγνόντες ἑωυτέων ἀνανδρείην· γυναικίζουσί
women's having-condemned of-themselves unmanliness they-play-the-woman
τε καὶ ἐργάζονται μετὰ τῶν γυναικῶν ἃ καὶ ἐκεῖναι.
both and they-work with the women what-things also those-women
Τοῦτο δὲ πάσχουσι Σκυθέων οἱ πλούσιοι, οὐχ οἱ κάκιστοι,
This and suffer of-Scythians the rich not the basest
ἀλλ' οἱ εὐγενέστατοι καὶ ἰσχὺν πλείστην κεκτημένοι, διὰ
but the noblest and strength most possessing because-of
τὴν ἱππασίην· οἱ δὲ πένητες ἧσσον· οὐ γὰρ ἱππάζονται.
the horse-riding the but poor less not for they-ride
Καίτοι ἐχρῆν, ἐπεὶ θειότερον τοῦτο τὸ νόσευμα τῶν
And-yet it-ought since more-divine this the disease than-the
λοιπῶν ἐστιν, οὐ τοῖσι γενναιοτάτοισι τῶν Σκυθέων καὶ
others is not to-the noblest of-the Scythians and
τοῖσι πλουσιωτάτοισι προσπίπτειν μούνοισι, ἀλλὰ τοῖσιν
to-the richest to-fall-upon alone but to-the
ἅπασιν ὁμοίως, καὶ μᾶλλον τοῖσιν ὀλίγα κεκτημένοισιν, οὐ
all alike and more to-those little possessing not
τιμωμένοισιν ἤδη, εἰ χαίρουσιν οἱ θεοὶ καὶ θαυμαζόμενοι
honoring already if rejoice the gods and being-admired
ὑπ' ἀνθρώπων, καὶ ἀντὶ τουτέων χάριτας ἀποδιδόασιν.
by men and in-return-for these favors repay
Εἰκὸς γὰρ τοὺς μὲν πλουσίους θύειν πολλὰ τοῖσι θεοῖσι,
Likely for the indeed rich to-sacrifice much to-the gods
καὶ ἀνατιθέναι ἀναθήματα, ἐόντων χρημάτων, καὶ τιμᾷν,
and to-dedicate offerings being money and to-honor
τοὺς δὲ πένητας ἧσσον, διὰ τὸ μὴ ἔχειν, ἔπειτα καὶ
the but poor less because-of the not to-have then also
ἐπιμεμφομένους ὅτι οὐ διδόασι χρήματα αὐτέοισιν· ὥστε
blaming that not they-give money to-them so-that

τῶν τοιουτέων ἁμαρτιῶν τὰς ζημίας τοὺς ὀλίγα κεκτημένους
of-the such sins the penalties the little possessing
φέρειν μᾶλλον ἢ τοὺς πλουσίους. Ἀλλὰ γὰρ, ὥσπερ καὶ
to-bear rather than the rich But for as also
πρότερον ἔλεξα, θεῖα μὲν καὶ ταῦτά ἐστιν ὁμοίως τοῖσιν
before I-said divine indeed also these-things are alike with-the
ἄλλοισιν· γίγνεται δὲ κατὰ φύσιν ἕκαστα· καὶ ἡ τοιαύτη
others it-comes-about but according-to nature each and the such
νοῦσος ἀπὸ τοιαύτης προφάσιος τοῖσι Σκύθῃσι γίγνεται
disease from such cause for-the Scythians comes-about
οἵην εἴρηκα. Ἔχει δὲ καὶ κατὰ τοὺς λοιποὺς ἀνθρώπους
as I-have-said It-is and also with the other men
ὁμοίως. Ὅκου γὰρ ἱππάζονται μάλιστα καὶ πυκνότατα,
alike Where for they-ride most and most-frequently
ἐκεῖ πλεῖστοι ὑπὸ κεδμάτων καὶ ἰσχιάδων καὶ ποδαγριῶν
there most by swellings and sciaticas and gouts
ἁλίσκονται, καὶ λαγνεύειν κάκιστοί εἰσιν. Ταῦτα δὲ τοῖσί
are-seized and to-have-sex worst they-are These-things and to-the
τε Σκύθῃσι πρόσεστι, καὶ εὐνουχοειδέστατοί εἰσιν ἀνθρώπων
both Scythians belong and most-eunuch-like are of-men
διὰ τὰς προειρημένας προφάσιας, καὶ ὅτι ἀναξυρίδας
because-of the aforesaid causes and because trousers
ἔχουσιν αἰεὶ, καὶ εἰσὶν ἐπὶ τῶν ἵππων τὸ πλεῖστον τοῦ
they-wear always and are on the horses the most of-the
χρόνου, ὥστε μήτε χειρὶ ἅπτεσθαι τοῦ αἰδοίου, ὑπό τε
time so-that neither with-hand to-touch the genitals by both
τοῦ ψύχεος καὶ τοῦ κόπου ἐπιλαθέσθαι τοῦ ἱμέρου καὶ τῆς
the cold and the fatigue to-forget the desire and the
μίξιος, καὶ μηδὲν παρακινέειν πρότερον ἢ ἀνανδρωθῆναι.
intercourse and nothing to-stir before than to-be-unmanned
Περὶ μὲν οὖν τῶν Σκυθέων οὕτως ἔχει τοῦ γένεος.
About indeed then the Scythians so it-is of-the race

23 Τὸ δὲ λοιπὸν γένος τὸ ἐν τῇ Εὐρώπῃ διάφορον αὐτὸ
The and remaining race the in the Europe different it
ἑωυτέῳ ἐστι, καὶ κατὰ τὸ μέγεθος καὶ κατὰ τὰς μορφὰς,
from-itself is both in the size and in the forms
διὰ τὰς μεταλλαγὰς τῶν ὡρέων, ὅτι μεγάλαι γίγνονται
because-of the changes of-the seasons because great they-become
καὶ πυκναὶ, καὶ θάλπεά τε ἰσχυρὰ καὶ χειμῶνες καρτεροὶ,
and frequent and heats both strong and winters harsh
καὶ ὄμβροι πολλοὶ, καὶ αὖθις αὐχμοὶ πολυχρόνιοι, καὶ
and rains many and again droughts long and
πνεύματα, ἐξ ὧν μεταβολαὶ πολλαὶ καὶ παντοδαπαί. Ἀπὸ
winds from which changes many and various From
τουτέων εἰκὸς αἰσθάνεσθαι καὶ τὴν γένεσιν ἐν τῇ ξυμπήξει
these likely to-feel also the generation in the compacting
τοῦ γόνου ἄλλην καὶ μὴ τῷ αὐτέῳ τὴν αὐτέην γίγνεσθαι,
of-the seed other and not in-the same the same to-come-about
ἔν τε τῷ θέρει καὶ τῷ χειμῶνι, μηδὲ ἐν ἐπομβρίῃ καὶ
in both the summer and the winter nor in rain and
αὐχμῷ· διότι τὰ εἴδεα διηλλάχθαι νομίζω τῶν Εὐρωπαίων
drought therefore the forms to-be-varied I-think of-the Europeans
μᾶλλον ἢ τῶν Ἀσιηνῶν· καὶ τὰ μεγέθεα διαφορώτατα
more than of-the Asiatics and the statures most-different
αὐτὰ ἑωυτοῖσιν εἶναι κατὰ πόλιν ἑκάστην· αἱ γὰρ φθοραὶ
they from-themselves to-be by city each the for corruptions
πλείονες ἐγγίγνονται τοῦ γόνου ἐν τῇ ξυμπήξει ἐν τῇσι
more occur of-the seed in the compacting in the
μεταλλαγῇσι τῶν ὡρέων πυκνῇσιν ἐούσῃσιν ἢ ἐν τῇσι
changes of-the seasons frequent being than in the
παραπλησίῃσι καὶ ὁμοίῃσιν. Περί τε τῶν ἠθέων ὁ αὐτὸς
nearly-alike and similar About both the characters the same
λόγος· τό τε ἄγριον καὶ τὸ ἄμικτον καὶ τὸ θυμοειδὲς
argument the both wild and the unsociable and the spirited

ἐν τῇ τοιαύτῃ φύσει ἐγγίγνεται· αἱ γὰρ ἐκπλήξιες πυκναὶ
in the such nature occurs the for shocks frequent
γιγνόμεναι τῆς γνώμης τὴν ἀγριότητα ἐντιθέασιν· τὸ δὲ
coming-about of-the mind the wildness put-in the but
ἥμερόν τε καὶ ἤπιον ἀμαυροῦσιν· διότι εὐψυχοτέρους νομίζω
tame both and gentle they-dim therefore braver I-think
τοὺς τὴν Εὐρώπην οἰκέοντας εἶναι ἢ τοὺς τὴν Ἀσίην· ἐν
those the Europe inhabiting to-be than those the Asia in
μὲν γὰρ τῷ αἰεὶ παραπλησίῳ αἱ ῥᾳθυμίαι ἔνεισιν, ἐν δὲ
indeed for the always nearly-alike the slacknesses are-in in but
τῷ μεταβαλλομένῳ αἱ ταλαιπωρίαι τῷ σώματι καὶ τῇ
the changing the hardships for-the body and the
ψυχῇ· καὶ ἀπὸ μὲν ἡσυχίης καὶ ῥᾳθυμίης ἡ δειλίη αὔξεται,
soul and from indeed quiet and slackness the cowardice grows
ἀπὸ δὲ τῆς ταλαιπωρίης καὶ τῶν πόνων αἱ ἀνδρεῖαι.
from but the hardship and the toils the courage
Διὰ τοῦτό εἰσι μαχιμώτεροι οἱ τὴν Εὐρώπην οἰκέοντες,
Because-of this are more-warlike those the Europe inhabiting
καὶ διὰ τοὺς νόμους, ὅτι οὐ βασιλεύονται ὥσπερ οἱ
and because-of the laws because not they-are-ruled-by-kings as the
Ἀσιηνοί· ὅκου γὰρ βασιλεύονται, ἐκεῖ ἀνάγκη δειλοτάτους
Asiatics where for they-are-ruled-by-kings there necessity most-cowardly
εἶναι· εἴρηται δέ μοι καὶ πρότερον. Αἱ γὰρ ψυχαὶ
to-be it-has-been-said and by-me also before The for souls
δεδούλωνται καὶ, οὐ βούλονται παρακινδυνεύειν ἑκόντες εἰκῆ
have-been-enslaved and not wish to-run-risks willingly rashly
ὑπὲρ ἀλλοτρίης δυνάμιος. Ὅσοι δὲ αὐτόνομοι, ὑπὲρ
on-behalf-of another's power As-many-as but independent on-behalf-of
ἑωυτέων γὰρ τοὺς κινδύνους αἱρεῦνται καὶ οὐκ ἄλλων,
themselves for the dangers choose and not of-others
προθυμεῦνται ἑκόντες καὶ ἐς τὸ δεινὸν ἔρχονται· τὰ γὰρ
they-are-eager willingly and into the danger they-go the for

ἀριστεῖα τῆς νίκης αὐτοὶ φέρονται· οὕτως οἱ νόμοι οὐχ
prizes of-the victory they-themselves carry-off so the laws not
ἥκιστα τὴν εὐψυχίην ἐργάζονται. Τὸ μὲν οὖν ὅλον καὶ τὸ
least the courage produce The indeed then whole and the
ἅπαν οὕτως ἔχει περί τε τῆς Εὐρώπης καὶ τῆς Ἀσίης.
all so it-is about both the Europe and the Asia
24 Ἔνεισι δὲ καὶ ἐν τῇ Εὐρώπῃ φῦλα διάφορα ἕτερα ἑτέροισι
There-are and also in the Europe tribes different other from-others
καὶ τὰ μεγέθεα καὶ τὰς μορφὰς καὶ τὰς ἀνδρείας· τὰ
both the statures and the forms and the courage the
δὲ διαλλάσσοντα ταῦτά ἐστιν, ἃ καὶ ἐπὶ τῶν πρότερον
and distinguishing these are which also in the former-cases
εἴρηται· ἔτι δὲ σαφέστερον φράσω. Ὁκόσοι μὲν χώρην
have-been-said further but more-clearly I-will-tell As-many-as indeed land
ὀρεινήν τε οἰκέουσι καὶ τρηχείην καὶ ὑψηλὴν καὶ ἔνυδρον,
mountainous both inhabit and rough and high and watered
καὶ αἱ μεταβολαὶ αὐτέοισι γίγνονται τῶν ὡρέων μέγα
and the changes for-them come-about of-the seasons greatly
διάφοροι, ἐνταῦθα εἰκὸς εἴδεα μεγάλα εἶναι, καὶ πρὸς τὸ
different there likely forms large to-be and for the
ταλαίπωρον καὶ τὸ ἀνδρεῖον εὖ πεφυκότα· καὶ τό τε ἄγριον
endurance and the courage well formed and the both wild
καὶ τὸ θηριῶδες αἱ τοιαῦται φύσιες οὐχ ἥκιστα ἔχουσιν·
and the brutish the such natures not least have
ὁκόσοι δὲ κοῖλα χωρία καὶ λειμακώδεα καὶ πνιγηρὰ, καὶ
as-many-as but hollow places and meadowy and stifling and
τῶν θερμῶν πνευμάτων πλέον μέρος μετέχουσιν ἢ τῶν
of-the hot winds more part share than of-the
ψυχρῶν, ὕδασί τε χρέονται θερμοῖσιν, οὗτοι μεγάλοι μὲν
cold waters both use hot these large indeed
οὐκ ἂν εἴησαν οὐδὲ κανονίαι· ἐς εὖρος δὲ πεφυκότες καὶ
not — would-be nor straight-built to breadth but formed and

σαρκώδεες καὶ μελανότριχες· καὶ αὐτοὶ μέλανες μᾶλλον
fleshy and black-haired and themselves dark rather
ἢ λευκότεροι, φλεγματίαι τε ἧσσον ἢ χολώδεες· τὸ δὲ
than fairer phlegmatic and less than bilious the and
ἀνδρεῖον καὶ τὸ ταλαίπωρον ἐν τῇ ψυχῇ, φύσει μὲν οὐκ
courage and the endurance in the soul by-nature indeed not
ἂν ὁμοίως ἐνείη, νόμος δὲ προσγενόμενος ἀπεργάσοιτ' ἄν.
— alike would-be-in custom but added would-produce-it —
Καὶ εἰ μὲν ποταμοὶ ἐνείησαν ἐν τῇ χώρῃ, οἵτινες ἐκ
And if indeed rivers should-be-in in the land which from
τῆς χώρης ἐξοχετεύουσι τό τε στάσιμον καὶ τὸ ὄμβριον,
the land drain-off the both stagnant and the rain-water
οὗτοι ἄν ὑγιηροί τε εἴησαν καὶ λαμπροί· εἰ μέντοι
these — healthy both would-be and bright if however
ποταμοὶ μὲν μὴ εἴησαν, τὰ δὲ ὕδατα κρηναῖά τε καὶ
rivers indeed not should-be the but waters spring-fed both and
στάσιμα πίνοιεν καὶ ἑλώδεα, ἀνάγκη τὰ τοιαῦτα εἴδεα
stagnant they-should-drink and marshy necessity the such forms
προγαστρότερα εἶναι καὶ σπληνώδεα. Ὁκόσοι δὲ ὑψηλὴν
rather-big-bellied to-be and splenetic As-many-as but high
οἰκέουσι χώρην καὶ λείην καὶ ἀνεμώδεα καὶ ἔνυδρον, εἶεν
inhabit land and smooth and windy and watered would-be
ἂν εἴδεα μεγάλοι καὶ ἑωυτέοισι παραπλήσιοι· ἀνανδρότεραι
— forms large and to-themselves similar more-unmanly
δὲ καὶ ἡμερώτεραι τουτέων αἱ γνῶμαι· ὁκόσοι δὲ λεπτά
but and tamer of-these the minds as-many-as but thin
τε καὶ ἄνυδρα καὶ ψιλά, τῇσι δὲ μεταβολῇσι τῶν ὡρέων
both and waterless and bare with-the and changes of-the seasons
οὐκ εὔκρητα, ἐν ταύτῃ τῇ χώρῃ τὰ εἴδεα εἰκὸς σκληρά
not well-blended in this the land the forms likely hard
τε εἶναι καὶ ἔντονα, καὶ ξανθότερα ἢ μελάντερα, καὶ
both to-be and sinewy and blonder than darker and

τὰ ἤθεα καὶ τὰς ὀργὰς αὐθάδεάς τε καὶ ἰδιογνώμονας.
the characters and the tempers self-willed both and opinionated
Ὅκου γὰρ μεταβολαί εἰσι πυκνόταται τῶν ὡρέων καὶ
Where for changes are most-frequent of-the seasons and
πλεῖστον διάφοροι αὐταὶ ἑωυτέῃσιν, ἐκεῖ καὶ τὰ εἴδεα καὶ
most different they from-themselves there also the forms and
τὰ ἤθεα καὶ τὰς φύσιας εὑρήσεις πλεῖστον διαφερούσας.
the characters and the natures you-will-find most differing
Μέγισται μὲν οὖν εἰσιν αὗται τῆς φύσιος αἱ διαλλαγαί·
Greatest indeed then are these of-the nature the differences
ἔπειτα δὲ καὶ ἡ χώρη ἐν ᾗ ἄν τις τρέφηται, καὶ
then and also the land in which — anyone is-reared and
τὰ ὕδατα· εὑρήσεις γὰρ ἐπὶ τὸ πλῆθος τῆς χώρης τῇ
the waters you-will-find for for the most-part of-the land to-the
φύσει ἀκολουθέοντα καὶ τὰ εἴδεα τῶν ἀνθρώπων καὶ τοὺς
nature following both the forms of-the men and the
τρόπους. Ὅκου μὲν γὰρ ἡ γῆ πίειρα καὶ μαλθακὴ καὶ
ways Where indeed for the earth rich and soft and
ἔνυδρος, καὶ τὰ ὕδατα κάρτα μετέωρα ἔχουσα, ὥστε θερμὰ
watered and the waters very near-the-surface having so-that hot
εἶναι τοῦ θέρεος, καὶ τοῦ χειμῶνος ψυχρὰ, καὶ τῶν ὡρέων
to-be in-the summer and in-the winter cold and to-the seasons
καλῶς κέεται, ἐνταῦθα καὶ οἱ ἄνθρωποι σαρκώδεές εἰσι καὶ
well it-lies there also the men fleshy are and
ἄναρθροι καὶ ὑγροὶ, καὶ ἀταλαίπωροι, καὶ τὴν ψυχὴν κακοὶ
jointless and moist and unenduring and the soul bad
ὡς ἐπὶ τὸ πουλύ· τό τε ῥᾴθυμον καὶ τὸ ὑπνηρόν ἐστιν
as for the most the both slackness and the sleepiness is
ἐν αὐτέοισιν ἰδεῖν· ἔς τε τὰς τέχνας παχέες καὶ οὐ λεπτοὶ
in them to-see in both the arts thick and not subtle
οὐδ' ὀξέες. Ὅκου δ' ἐστὶν ἡ χώρη ψιλή τε καὶ ἀνώχυρος
nor sharp Where but is the land bare both and unsheltered

καὶ τρηχείη, καὶ ὑπὸ τοῦ χειμῶνος πιεζομένη, καὶ ὑπὸ τοῦ
and rough and by the winter oppressed and by the
ἡλίου κεκαυμένη, ἐνταῦθα δὲ σκληρούς τε καὶ ἰσχνοὺς καὶ
sun burnt there but hard both and lean and
διηρθρωμένους καὶ ἐντόνους καὶ δασέας ἂν ἴδοις· τό τε
well-jointed and sinewy and hairy — you-would-see the both
ἐργατικὸν ὀξὺ ἐνεὸν ἐν τῇ φύσει τῇ τοιαύτῃ καὶ τὸ ἄγρυπνον,
industrious sharp being-in in the nature the such and the wakeful
τά τε ἤθεα καὶ τὰς ὀργὰς αὐθάδεας καὶ ἰδιογνώμονας,
the both characters and the tempers self-willed and opinionated
τοῦ τε ἀγρίου μᾶλλον μετέχοντας ἢ τοῦ ἡμέρου, ἔς τε
of-the both wild more sharing than of-the tame in both
τὰς τέχνας ὀξυτέρους τε καὶ ξυνετωτέρους καὶ τὰ πολέμια
the arts sharper both and more-intelligent and the warlike-things
ἀμείνους εὑρήσεις· καὶ τἆλλα τὰ ἐν τῇ γῇ φυόμενα
better you-will-find and the-other-things the in the earth growing
πάντα ἀκόλουθα ἐόντα τῇ γῇ. Αἱ μὲν ἐναντιώταται φύσιές
all following being the earth The indeed most-opposite natures
τε καὶ ἰδέαι ἔχουσιν οὕτως· ἀπὸ δὲ τουτέων τεκμαιρόμενος
both and forms have so from but these inferring
τὰ λοιπὰ ἐνθυμέεσθαι, καὶ οὐχ ἁμαρτήσῃ.
the remaining-things consider and not you-will-err

HIPPOCRATES

ΠΕΡΙ ΙΕΡΗΣ ΝΟΥΣΟΥ

On the Sacred Disease

ΠΕΡΙ ΙΕΡΗΣ ΝΟΥΣΟΥ

I · NOT MORE DIVINE THAN OTHER DISEASES

The so-called sacred disease is no more divine than any other; it has a nature and a cause. Those who first called it sacred were charlatans who hid their ignorance behind purifications, charms, and taboos, and blamed a god for each kind of fit; but whoever can remove it by rites could also impose it, so the cause is human. It is hereditary and curable, attacks the phlegmatic, and begins in the brain, which veins from the liver and the spleen supply with air, when the brain is not purged of phlegm in the womb.

Περὶ μὲν τῆς ἱερῆς νούσου καλεομένης ὧδ' ἔχει· οὐδέν 1
About indeed the sacred disease so-called thus it-is in-nothing
τί μοι δοκέει τῶν ἄλλων θειοτέρη εἶναι νούσων οὐδὲ
— to-me it-seems than-the other more-divine to-be diseases nor
ἱερωτέρη, ἀλλὰ φύσιν μὲν ἔχει ἣν καὶ τὰ λοιπὰ
more-sacred but nature indeed has which also the other
νουσήματα, ὅθεν γίνεται. Φύσιν δὲ αὐτῇ καὶ πρόφασιν
diseases whence it-comes-about Nature and for-it and cause
οἱ ἄνθρωποι ἐνόμισαν θεῖόν τι πρῆγμα εἶναι ὑπὸ
the men thought divine some thing to-be through
ἀπειρίης καὶ θαυμασιότητος, ὅτι οὐδὲν ἔοικεν ἑτέρῃσι
inexperience and wonder because in-nothing it-resembles other
νούσοισιν· καὶ κατὰ μὲν τὴν ἀπορίην αὐτοῖσι τοῦ
diseases and according-to indeed the perplexity for-them of-the
μὴ γινώσκειν τὸ θεῖον αὐτῇ διασώζεται, κατὰ δὲ τὴν
not to-know the divine for-it is-preserved according-to but the
εὐπορίην τοῦ τρόπου τῆς ἰήσιος ᾧ ἰῶνται, ἀπόλλυται,
ease of-the manner of-the cure by-which they-cure it-is-destroyed
ὅτι καθαρμοῖσί τε ἰῶνται καὶ ἐπαοιδῇσιν. Εἰ δὲ διὰ
because by-purifications both they-cure and by-incantations If and because-of
τὸ θαυμάσιον θεῖον νομιεῖται, πολλὰ τὰ ἱερὰ νουσήματα
the wonderful divine it-shall-be-thought many the sacred diseases

ἔσται καὶ οὐχὶ ἓν, ὡς ἐγὼ ἀποδείξω ἕτερα οὐδὲν ἧσσον
will-be and not one as I will-show others nothing less
ἐόντα θαυμάσια οὐδὲ τερατώδεα, ἃ οὐδεὶς νομίζει ἱερὰ
being wonderful nor portentous which no-one thinks sacred
εἶναι. Τοῦτο μὲν γὰρ οἱ πυρετοὶ οἱ ἀμφημερινοὶ καὶ οἱ
to-be This indeed for the fevers the quotidian and the
τριταῖοι καὶ οἱ τεταρταῖοι οὐδὲν ἧσσόν μοι δοκέουσιν ἱεροὶ
tertian and the quartan nothing less to-me seem sacred
εἶναι καὶ ὑπὸ θεοῦ γίνεσθαι ταύτης τῆς νούσου, ὧν
to-be and by god to-come-about than-this the disease of-which
οὐ θαυμασίως γ' ἔχουσιν· τοῦτο δὲ ὁρέω μαινομένους
not in-wonder at-least they-have this and I-see raving
ἀνθρώπους καὶ παραφρονέοντας ἀπὸ μηδεμιῆς προφάσιος
men and deranged from no cause
ἐμφανέος, καὶ πολλά τε καὶ ἄκαιρα ποιέοντας, ἔν τε
manifest and many-things both and untimely doing in both
τῷ ὕπνῳ οἶδα πολλοὺς οἰμώζοντας καὶ βοῶντας, τοὺς δὲ
the sleep I-know many groaning and shouting some and
πνιγομένους, τοὺς δὲ καὶ ἀναΐσσοντάς τε καὶ φεύγοντας
choking others and also leaping-up both and fleeing
ἔξω καὶ παραφρονέοντας μέχρις ἂν ἐπέγρωνται, ἔπειτα δὲ
outside and deranged until — they-wake then and
ὑγιέας ἐόντας καὶ φρονέοντας ὥσπερ καὶ πρότερον, ἐόντας
healthy being and sane as also before being
τ' αὐτέους ὠχρούς τε καὶ ἀσθενέας, καὶ ταῦτα οὐχ
and themselves pale both and weak and these-things not
ἅπαξ, ἀλλὰ πολλάκις, ἄλλα τε πολλά ἐστι καὶ παντοδαπὰ
once but often others both many are and of-all-kinds
ὧν περὶ ἑκάστου λέγειν πουλὺς ἂν εἴη λόγος.
of-which about each to-speak much — would-be argument

Ἐμοὶ δὲ δοκέουσιν οἱ πρῶτοι τοῦτο τὸ νόσημα
To-me and seem those first this the disease
ἀφιερώσαντες τοιοῦτοι εἶναι ἄνθρωποι οἷοι καὶ νῦν εἰσι
having-sanctified such to-be men as also now are
μάγοι τε καὶ καθάρται καὶ ἀγύρται καὶ ἀλαζόνες, ὁκόσοι
magi both and purifiers and beggar-priests and charlatans as-many-as
δὴ προσποιέονται σφόδρα θεοσεβέες εἶναι καὶ πλέον τι
indeed pretend very pious to-be and more something
εἰδέναι. Οὗτοι τοίνυν παραμπεχόμενοι καὶ προβαλλόμενοι τὸ
to-know These therefore cloaking and putting-forward the
θεῖον τῆς ἀμηχανίης τοῦ μὴ ἴσχειν ὅ τι προσενέγκαντες
divine of-the helplessness of-the not to-have what — offering
ὠφελήσουσιν, ὡς μὴ κατάδηλοι ἔωσιν οὐδὲν ἐπιστάμενοι,
they-will-benefit so-that not manifest they-may-be nothing knowing
ἱερὸν ἐνόμισαν τοῦτο τὸ πάθος εἶναι, καὶ λόγους ἐπιλέξαντες
sacred considered this the affliction to-be and words having-chosen
ἐπιτηδείους τὴν ἴησιν κατεστήσαντο ἐς τὸ ἀσφαλὲς σφίσιν
suitable the cure established into the safe for-them
αὐτοῖσι, καθαρμοὺς προσφέροντες καὶ ἐπαοιδὰς, λουτρῶν
themselves purifications applying and incantations from-baths
τε ἀπέχεσθαι κελεύοντες καὶ ἐδεσμάτων πολλῶν καὶ
both to-abstain ordering and from-foods many and
ἀνεπιτηδείων ἀνθρώποισι νοσέουσιν ἐσθίειν, θαλασσίων μὲν
unsuitable for-men being-sick to-eat of-sea-ones indeed
τρίγλης, μελανούρου, κεστρέος, ἐγχέλυος (οὗτοι γὰρ οἱ
red-mullet black-tail gray-mullet eel these for the
ἰχθύες εἰσὶν ἐπικαιρότατοι), κρεῶν δὲ αἰγείου καὶ ἐλάφων
fish are most-dangerous of-meats and goat's and deer's
καὶ χοιρίων καὶ κυνὸς (ταῦτα γὰρ κρεῶν ταρακτικώτατά
and pork's and dog's these for of-meats most-disturbing
ἐστι τῆς κοιλίης), ὀρνίθων δὲ ἀλεκτρυόνος καὶ τρυγόνος
are of-the belly of-birds and cock's and turtle-dove's

καὶ ὠτίδος, ἔτι δὲ ὅσα νομίζεται ἰσχυρότατα εἶναι,
and bustard's further and as-many-as are-thought strongest to-be
λαχάνων δὲ μίνθης, σκορόδου καὶ κρομύου (δριμὺ γὰρ
of-vegetables and mint garlic and onion acrid for
ἀσθενέοντι οὐδὲν ξυμφέρει), ἱμάτιον δὲ μέλαν μὴ ἔχειν
for-one-weak nothing benefits a-cloak and black not to-wear
(θανατῶδες γὰρ τὸ μέλαν), μηδὲ ἐν αἰγείῳ κατακέεσθαι
deadly for the black nor on goat's to-lie-down
δέρματι μηδὲ φορέειν, μηδὲ πόδα ἐπὶ ποδὶ ἔχειν, μηδὲ
skin nor to-wear-it nor foot on foot to-have nor
χεῖρα ἐπὶ χειρὶ (ταῦτα γὰρ πάντα κωλύματα εἶναι).
hand on hand these-things for all bindrances to-be
Ταῦτα δὲ πάντα τοῦ θείου εἵνεκεν προστιθέασιν, ὡς
These-things and all for-the divine sake they-add as
πλέον τι εἰδότες καὶ ἄλλας προφάσιας λέγοντες,
more something knowing and other causes saying
ὅκως, εἰ μὲν ὑγιὴς γένοιτο, αὐτῶν ἡ δόξα εἴη
so-that if indeed healthy he-should-become their the reputation might-be
καὶ ἡ δεξιότης, εἰ δὲ ἀποθάνοι, ἐν ἀσφαλεῖ καθισταῖντο
and the cleverness if but he-should-die in safety might-be-established
αὐτῶν αἱ ἀπολογίαι καὶ ἔχοιεν πρόφασιν ὡς οὐκ
their the defenses and they-might-have excuse that not
αἴτιοί εἰσιν αὐτοὶ, ἀλλ' οἱ θεοί· οὔτε γὰρ φαγέειν οὔτε
responsible are they but the gods neither for to-eat nor
πιέειν ἔδοσαν φάρμακον οὐδὲν, οὔτε λουτροῖσι καθήψησαν,
to-drink they-gave drug any nor with-baths they-steeped
ὥστε δοκέειν αἴτιον εἶναι. Ἐγὼ δὲ δοκέω Λιβύων τῶν
so-as to-seem responsible to-be I and think of-Libyans of-those
τὴν μεσόγειον οἰκεόντων οὐδένα ὑγιαίνειν, ὅτι ἐν αἰγείοισι
the interior inhabiting none to-be-healthy since in goat
δέρμασι κατακέονται καὶ κρέασιν αἰγείοισι χρῶνται, ἐπεὶ
skins they-lie and with-meats goat they-use since

οὐκ ἔχουσιν οὔτε στρῶμα οὔτε ἱμάτιον οὔτε ὑπόδημα ὅ
not they-have either bedding or cloak or shoe what
τι μὴ αἴγειόν ἐστιν· οὐ γάρ ἐστιν αὐτοῖς ἄλλο προβάτιον
— not goat's is not for there-is to-them other small-cattle
οὐδὲν ἢ αἶγες καὶ βόες. Εἰ δὲ ταῦτα προσφερόμενα καὶ
none than goats and oxen If and these-things given and
ἐσθιόμενα τὴν νοῦσον τίκτει τε καὶ αὔξει καὶ μὴ ἐσθιόμενα
eaten the disease beget both and increase and not eaten
ἰῆται, οὐκ ἔστιν ἄρα ὁ θεὸς αἴτιος οὐδενὸς, οὐδὲ οἱ
cure not is then the god cause of-anything nor the
καθαρμοὶ ὠφελέουσιν, ἀλλὰ τὰ ἐδέσματα τὰ ἰώμενά ἐστι
purifications benefit but the foods the-things curing are
καὶ τὰ βλάπτοντα, τοῦ δὲ θείου ἀφανίζεται ἡ δύναμις.
and the-things harming of-the and divine vanishes the power
Οὕτως οὖν ἔμοιγε δοκέουσιν οἵτινες τούτῳ τῷ τρόπῳ
So then to-me-at-least they-seem whoever in-this the manner
ἐγχειρέουσιν ἰῆσθαι ταῦτα τὰ νοσήματα, οὔτε ἱερὰ νομίζειν
undertake to-cure these the diseases neither sacred to-think
εἶναι οὔτε θεῖα· ὅκου γὰρ ὑπὸ καθαρμῶν τοιούτων
to-be nor divine where for by purifications such
μετάστατα γίνεται καὶ ὑπὸ θεραπείης τοιῆσδε, τί κωλύει
removable they-become and by treatment such what prevents
καὶ ὑφ' ἑτέρων τεχνημάτων ὁμοίων τούτοισιν ἐπιγίνεσθαι
also by other contrivances like to-these to-come-upon
τοῖσιν ἀνθρώποισι, καὶ προσπίπτειν; ὥστε μηκέτι τὸ θεῖον
the men and to-fall-upon so-that no-longer the divine
αἴτιον εἶναι, ἀλλά τι ἀνθρώπινον. Ὅστις γὰρ οἷός
cause to-be but something human Whoever for able
τε περικαθαίρων ἐστὶ καὶ μαγεύων ἀπάγειν τοιοῦτον
— purifying is and practicing-magic to-take-away such
πάθος, οὗτος κἂν ἐπάγοι ἕτερα τεχνησάμενος, καὶ ἐν
affliction this-one also-could bring-on others having-contrived and in

τούτῳ τῷ λόγῳ τὸ θεῖον ἀπόλλυται. Τοιαῦτα λέγοντες
this the argument the divine perishes Such-things saying
καὶ μηχανεύμενοι προσποιέονται πλέον τι εἰδέναι, καὶ
and contriving they-pretend more something to-know and
ἀνθρώπους ἐξαπατέουσι προστιθέμενοι τούτοισιν ἁγνείας τε
men deceive applying to-these purities both
καὶ καθαρότητας, ὅ τε πουλὺς αὐτοῖσι τοῦ λόγου ἐς τὸ θεῖον
and cleansings the both much for-them of-the talk to the divine
ἀφήκει καὶ τὸ δαιμόνιον. Καίτοι ἔμοιγε οὐ περὶ εὐσεβείης
comes-down and the daemonic And-yet to-me-at-least not about piety
δοκέουσι τοὺς λόγους ποιέεσθαι, ὡς οἴονται, ἀλλὰ περὶ
they-seem the words to-make as they-think but about
δυσσεβείης μᾶλλον, καὶ ὡς οἱ θεοὶ οὐκ εἰσὶ, τό τε εὐσεβὲς
impiety rather and that the gods not are the both pious
καὶ θεῖον αὐτῶν ἀσεβὲς καὶ ἀνόσιόν ἐστιν, ὡς ἐγὼ διδάξω.
and divine of-them impious and unholy is as I will-teach
Εἰ γὰρ σελήνην τε καθαιρέειν καὶ ἥλιον ἀφανίζειν καὶ
If for moon both to-draw-down and sun to-make-disappear and
χειμῶνά τε καὶ εὐδίην ποιέειν καὶ ὄμβρους καὶ αὐχμοὺς
storm both and fair-weather to-make and rains and droughts
καὶ θάλασσαν ἄφορον καὶ γῆν καὶ τἆλλα τὰ τοιουτότροπα
and sea barren and earth and the-other the such-like
πάντα ὑποδέχονται ἐπίστασθαι, εἴτε καὶ ἐκ τελετέων
all-things they-undertake to-know whether also from rites
εἴτε καὶ ἐξ ἄλλης τινὸς γνώμης ἢ μελέτης φασὶν
or also from other some knowledge or practice they-say
ταῦτα οἷόν τ᾽ εἶναι γενέσθαι οἱ ταῦτ᾽ ἐπιτηδεύοντες,
these-things possible — to-be to-come-about those these-things practicing
δυσσεβέειν ἔμοιγε δοκέουσι καὶ θεοὺς οὔτε εἶναι νομίζειν
to-be-impious to-me-at-least seem and gods neither to-exist to-believe
οὔτ᾽ ἐόντας ἰσχύειν οὐδὲν οὔτε εἴργεσθαι ἂν οὐδενὸς
nor existing to-have-power anything nor to-be-restrained — from-anything

τῶν ἐσχάτων, ὧν ποιέοντες πῶς οὐ δεινοὶ αὐτοῖσίν
of-the extremes which doing how not terrible to-them
εἰσιν; εἰ γὰρ ἄνθρωπος μαγεύων τε καὶ θύων σελήνην
are if for a-man practicing-magic both and sacrificing moon
τε καθαιρήσει καὶ ἥλιον ἀφανιεῖ καὶ χειμῶνα καὶ
both will-draw-down and sun will-make-disappear and storm and
εὐδίην ποιήσει, οὐκ ἂν ἔγωγέ τι θεῖον νομίσαιμι
fair-weather will-make not — I anything divine would-think
τούτων εἶναι, ἀλλ᾽ ἀνθρώπινον, εἰ δὴ τοῦ θείου ἡ
of-these to-be but human if indeed of-the divine the
δύναμις ὑπὸ ἀνθρώπου γνώμης κρατέεται καὶ δεδούλωται.
power by human judgment is-mastered and has-been-enslaved
Ἴσως δὲ οὐχ οὕτως ἔχει ταῦτα, ἀλλ᾽ ἄνθρωποι βίου
Perhaps but not so are these-things but men of-livelihood
δεόμενοι πολλὰ καὶ παντοῖα τεχνέονται καὶ ποικίλλουσιν
needing many and of-all-kinds contrive and embellish
ἔς τε τἄλλα πάντα καὶ ἐς τὴν νοῦσον ταύτην, ἑκάστῳ
in both the-other-things all and in the disease this to-each
εἴδει τοῦ πάθεος θεῷ τὴν αἰτίην προστιθέντες.
form of-the affliction to-a-god the cause attributing
Οὐ γὰρ καθάπαξ, ἀλλὰ πλεονάκις ταῦτα μέμνηνται· κἢν
Not for once-for-all but more-often these-things they-recall and-if
μὲν γὰρ αἶγα μιμῶνται, κἢν βρύχωνται, κἢν τὰ δεξιὰ
indeed for a-goat they-imitate and-if they-roar and-if the right-side
σπῶνται, μητέρα θεῶν φασὶν αἰτίην εἶναι. Ἢν δὲ ὀξύτερον
they-convulse mother of-gods they-say cause to-be If and more-shrilly
καὶ εὐτονώτερον φθέγγηται, ἵππῳ εἰκάζουσι, καὶ φασὶ
and more-loudly he-cries to-a-horse they-liken and say
Ποσειδῶνα αἴτιον εἶναι. Ἢν δὲ καὶ τῆς κόπρου τι παρέῃ,
Poseidon cause to-be If and also of-the excrement some passes
ὃ πολλάκις γίνεται ὑπὸ τῆς νούσου βιαζομένοισιν,
which often comes-about by the disease to-those-forced

Ἐνοδίου πρόσκειται ἡ προσωνυμίη· ἢν δὲ λεπτότερον καὶ
Enodia's is-attached the name if and thinner and
πυκνότερον, οἷον ὄρνιθες, Ἀπόλλων νόμιος. Ἢν δὲ ἀφρὸν
more-frequent like birds Apollo Nomios If and foam
ἐκ τοῦ στόματος ἀφίῃ καὶ τοῖσι ποσὶ λακτίζῃ, Ἄρης
from the mouth he-lets-out and with-the feet kicks Ares
τὴν αἰτίην ἔχει. Ὁκόσα δὲ δείματα νυκτὸς παρίσταται καὶ
the blame has As-many-as and terrors by-night attend and
φόβοι καὶ παράνοιαι καὶ ἀναπηδήσιες ἐκ τῆς κλίνης καὶ
fears and derangements and leapings from the bed and
φόβητρα καὶ φεύξιες ἔξω, Ἑκάτης φασὶν εἶναι ἐπιβολὰς καὶ
frights and flights outside of-Hecate they-say to-be assaults and
ἡρώων ἐφόδους. Καθαρμοῖσί τε χρέονται καὶ ἐπαοιδῇσι, καὶ
of-heroes attacks Purifications both they-use and incantations and
ἀνοσιώτατόν γε καὶ ἀθεώτατον ποιέουσιν, ὡς ἔμοιγε
most-unholy at-least and most-godless they-do as to-me-at-least
δοκέει, τὸ θεῖον· καθαίρουσι γὰρ τοὺς ἐχομένους τῇ νούσῳ
seems the divine they-purify for those held by-the disease
αἵματί τε καὶ ἄλλοισι τοιούτοισιν ὥσπερ μίασμά τι
with-blood both and other such-things as-if pollution some
ἔχοντας, ἢ ἀλάστορας, ἢ πεφαρμαγμένους ὑπὸ ἀνθρώπων,
having or avenging-spirits or bewitched by men
ἤ τι ἔργον ἀνόσιον εἰργασμένους, οὓς ἐχρῆν τἀναντία
or some deed unholy having-done whom they-ought the-opposite
τούτοισι ποιέειν, θύειν τε καὶ εὔχεσθαι καὶ ἐς τὰ ἱερὰ
to-these to-do to-sacrifice both and to-pray and to the temples
φέροντας ἱκετεύειν τοὺς θεούς· νῦν δὲ τούτων μὲν ποιέουσιν
bringing to-supplicate the gods now but of-these indeed they-do
οὐδὲν, καθαίρουσι δέ. Καὶ τὰ μὲν τῶν καθαρμῶν
nothing they-purify but And the-things indeed of-the purifications
γῇ κρύπτουσι, τὰ δὲ ἐς θάλασσαν ἐμβάλλουσι
in-earth they-hide the-others and into sea they-throw

τὰ δὲ ἐς τὰ οὔρεα ἀποφέρουσιν, ὅπη μηδεὶς ἅψεται
the-others and into the mountains carry-off where no-one will-touch
μηδὲ ἐπιβήσεται· τὰ δ' ἐχρῆν ἐς τὰ ἱερὰ φέροντας τῷ
nor will-tread-on them but they-ought to the temples bringing to-the
θεῷ ἀποδοῦναι, εἰ δὴ θεός γέ ἐστιν αἴτιος.
god to-give-back if indeed god at-least is cause
Οὐ μέντοι ἔγωγε ἀξιῶ ὑπὸ θεοῦ ἀνθρώπου σῶμα μιαίνεσθαι,
Not however I think by god of-man body to-be-polluted
τὸ ἐπικηρότατον ὑπὸ τοῦ ἁγνοτάτου· ἀλλὰ κἢν τυγχάνῃ ὑπὸ
the most-perishable by the most-holy but even-if it-happens by
ἑτέρου μεμιασμένον ἤ τι πεπονθὸς, ἐθέλοι ἂν ὑπὸ τοῦ
other polluted or something having-suffered it-would-wish — by the
θεοῦ καθαίρεσθαι καὶ ἁγνίζεσθαι μᾶλλον ἢ μιαίνεσθαι. Τὰ
god to-be-purified and to-be-sanctified rather than to-be-polluted The
γοῦν μέγιστα τῶν ἁμαρτημάτων καὶ ἀνοσιώτατα τὸ θεῖόν
at-least greatest of-the sins and most-unholy the divine
ἐστι τὸ καθαῖρον καὶ ἁγνίζον καὶ ῥύμμα γινόμενον ἡμῖν,
is the-thing purifying and sanctifying and cleansing becoming for-us
αὐτοί τε ὅρους τοῖσι θεοῖσι τῶν ἱερῶν καὶ τῶν τεμενέων
we both boundaries for-the gods of-the temples and of-the precincts
ἀποδεικνύμενοι, ὡς ἂν μηδεὶς ὑπερβαίνῃ ἢν μὴ ἁγνεύῃ,
marking so-that — no-one may-cross if not he-be-pure
εἰσιόντες τε ἡμεῖς περιῤῥαινόμεθα οὐχ ὡς μιαινόμενοι, ἀλλ'
entering and we sprinkle-ourselves not as being-polluted but
εἴ τι καὶ πρότερον ἔχομεν μύσος, τοῦτο ἀφαγνιούμενοι.
if any also before we-have defilement this to-wash-away
Καὶ περὶ μὲν τῶν καθαρμῶν οὕτω μοι δοκέει ἔχειν.
And about indeed the purifications so to-me it-seems to-be
Τὸ δὲ νούσημα τοῦτο οὐδέν τί μοι δοκέει θειότερον εἶναι 2
The and disease this in-nothing — to-me it-seems more-divine to-be
τῶν λοιπῶν, ἀλλὰ φύσιν μὲν ἔχει ἣν καὶ τὰ ἄλλα
than-the others but nature indeed has which also the other

νουσήματα, καὶ πρόφασιν ὅθεν ἕκαστα γίνεται· φύσιν δὲ
diseases and cause whence each comes-about nature and
τοῦτο καὶ πρόφασιν ἀπὸ ταὐτοῦ τὸ θεῖον γίνεσθαι ἀφ᾽ ὅτου
this and cause from the-same the divine to-come-about from which
καὶ τἄλλα πάντα, καὶ ἰητὸν εἶναι, καὶ οὐδὲν ἧσσον ἑτέρων,
also the-other all and curable to-be and nothing less than-others
ὅ τι ἂν μὴ ἤδη ὑπὸ χρόνου πολλοῦ καταβεβιασμένον
what — — not already by time long has-been-overpowered
ἔῃ, ὥστε ἤδη εἶναι ἰσχυρότερον τῶν φαρμάκων τῶν
is so-that already to-be stronger than-the drugs the
προσφερομένων. Ἄρχεται δὲ ὥσπερ καὶ τἄλλα νουσήματα
being-administered It-begins and as also the-other diseases
κατὰ γένος· εἰ γὰρ ἐκ φλεγματώδεος φλεγματώδης, καὶ ἐκ
by family if for from phlegmatic phlegmatic and from
χολώδεος χολώδης γίνεται, καὶ ἐκ φθινώδεος φθινώδης, καὶ
bilious bilious is-born and from consumptive consumptive and
ἐκ σπληνώδεος σπληνώδης, τί κωλύει ὅτῳ πατὴρ καὶ
from splenetic splenetic what prevents by-which father and
μήτηρ εἴχετο, τούτῳ τῷ νοσήματι καὶ τῶν ἐκγόνων ἔχεσθαί
mother was-held by-this the disease also of-the offspring to-be-held
τινα; ὡς ὁ γόνος ἔρχεται πάντοθεν τοῦ σώματος, ἀπό τε
some as the seed comes from-all-parts of-the body from both
τῶν ὑγιηρῶν ὑγιηρὸς, ἀπό τε τῶν νοσερῶν νοσερός. Ἕτερον
the healthy-parts healthy from both the diseased-parts diseased Another
δὲ μέγα τεκμήριον ὅτι οὐδὲν θειότερόν ἐστι τῶν λοιπῶν
and great proof that nothing more-divine it-is than-the other
νουσημάτων· τοῖσι γὰρ φλεγματώδεσι φύσει γίνεται τοῖσι
diseases to-the for phlegmatic by-nature it-comes for-the
δὲ χολώδεσιν οὐ προσπίπτει· καίτοι εἰ θειότερόν ἐστι τῶν
but bilious not it-befalls and-yet if more-divine it-is than-the

ἄλλων, τοῖσιν ἅπασιν ὁμοίως ἔδει γίνεσθαι τὴν νοῦσον
others to-the all alike it-ought to-come-about the disease
ταύτην, καὶ μὴ διακρίνειν μήτε χολώδεα μήτε φλεγματώδεα.
this and not to-distinguish neither bilious nor phlegmatic
Ἀλλὰ γὰρ αἴτιος ὁ ἐγκέφαλος τούτου τοῦ πάθεος, ὥσπερ 3
But for cause the brain of-this the affliction as
καὶ τῶν ἄλλων νουσημάτων τῶν μεγίστων· ὁτέῳ δὲ τρόπῳ
also of-the other diseases the greatest in-what and manner
καὶ ἐξ οἵης προφάσιος γίνεται, ἐγὼ φράσω σαφέως. Ὁ
and from what cause it-comes-about I will-tell clearly The
ἐγκέφαλος τοῦ ἀνθρώπου ἐστὶ διπλόος ὥσπερ καὶ τοῖσιν
brain of-the man is double as also in-the
ἄλλοισι ζώοισιν ἅπασιν· τὸ δὲ μέσον αὐτοῦ διείργει μῆνιγξ
other animals all the and middle of-it divides membrane
λεπτή· διὸ οὐκ αἰεὶ κατὰ ταὐτὸ τῆς κεφαλῆς ἀλγέει,
thin therefore not always in the-same of-the head it-aches
ἀλλ' ἐν μέρει ἑκάτερον, ὁτὲ δὲ ἅπασαν. Καὶ φλέβες δ'
but in turn each-side sometimes but all Also veins and
ἐς αὐτὸν τείνουσιν ἐξ ἅπαντος τοῦ σώματος, πολλαὶ καὶ
into it extend from all the body many and
λεπταὶ, δύο δὲ παχεῖαι, ἡ μὲν ἀπὸ τοῦ ἥπατος, ἡ
thin two but thick the-one indeed from the liver the-other
δὲ ἀπὸ τοῦ σπληνός. Καὶ ἡ μὲν ἀπὸ τοῦ ἥπατος ὧδ'
and from the spleen And the indeed from the liver thus
ἔχει· τὸ μέν τι τῆς φλεβὸς κάτω τείνει διὰ τῶν ἐπὶ
it-is the indeed some of-the vein downward extends through the on
δεξιὰ παρ' αὐτὸν τὸν νεφρὸν καὶ τὴν ψυὴν ἐς τὸ ἐντὸς
right beside the-very the kidney and the loin into the inside
τοῦ μηροῦ, καὶ καθήκει ἐς τὸν πόδα· καὶ καλέεται κοίλη
of-the thigh and reaches-down into the foot and is-called hollow
φλέψ· ἡ δὲ ἑτέρη ἄνω τείνει διὰ φρενῶν τῶν δεξιῶν
vein the and other upward extends through diaphragm the right

καὶ τοῦ πλεύμονος· ἀπέσχισται δὲ καὶ ἐς τὴν καρδίην
and of-the lung it-has-branched and also into the heart
καὶ ἐς τὸν βραχίονα τὸν δεξιόν· τὸ δὲ λοιπὸν ἄνω φέρει
and into the arm the right the and rest upward runs
διὰ τῆς κληῖδος ἐς τὰ δεξιὰ τοῦ αὐχένος, ἐς αὐτὸ τὸ
through the collarbone into the right of-the neck into the-very the
δέρμα, ὥστε κατάδηλος εἶναι· παρὰ δὲ τὸ οὖς κρύπτεται
skin so-that visible to-be beside and the ear it-is-hidden
καὶ ἐνταῦθα σχίζεται, καὶ τὸ μὲν παχύτατον καὶ μέγιστον
and there it-splits and the indeed thickest and greatest
καὶ κοιλότατον ἐς τὸν ἐγκέφαλον τελευτᾷ, τὸ δὲ ἐς τὸ
and most-hollow into the brain ends the and into the
οὖς τὸ δεξιὸν φλέβιον λεπτὸν, τὸ δὲ ἐς τὸν ὀφθαλμὸν
ear the right small-vein thin the and into the eye
τὸν δεξιὸν, τὸ δὲ ἐς τὸν μυκτῆρα. Ἀπὸ μὲν τοῦ ἥπατος
the right the and into the nostril From indeed the liver
οὕτως ἔχει τῶν φλεβῶν. Διατέταται δὲ καὶ ἀπὸ τοῦ
so it-is of-the veins Extends and also from the
σπληνὸς φλεψὶ ἐς τὰ ἀριστερὰ καὶ κάτω καὶ ἄνω, ὥσπερ
spleen vein to the left and downward and upward as
καὶ ἀπὸ τοῦ ἥπατος, λεπτοτέρη δὲ καὶ ἀσθενεστέρη.
also from the liver thinner but and weaker

4 Κατὰ ταύτας δὲ τὰς φλέβας καὶ ἐσαγόμεθα τὸ πουλὺ τοῦ
Through these and the veins also we-draw-in the most of-the
πνεύματος· αὗται γὰρ ἡμέων εἰσὶν ἀναπνοαὶ τοῦ σώματος
breath these for our are breathing-holes of-the body
τὸν ἠέρα ἐς σφᾶς ἕλκουσαι, καὶ ἐς τὸ σῶμα τὸ λοιπὸν
the air into themselves drawing and into the body the rest
ὀχετεύουσι κατὰ τὰ φλέβια, καὶ ἀναψύχουσι καὶ πάλιν
channel through the small-veins and cool and again
ἀφιᾶσιν. Οὐ γὰρ οἷόν τε τὸ πνεῦμα στῆναι, ἀλλὰ χωρέει
let-it-go Not for possible — the breath to-stand but it-moves

ἄνω καὶ κάτω· ἢν γὰρ στῇ που καὶ ἀποληφθῇ,
up and down if for it-stands somewhere and is-cut-off
ἀκρατὲς γίνεται ἐκεῖνο τὸ μέρος ὅπου ἂν στῇ· τεκμήριον
powerless becomes that the part where — it-stands proof
δέ· ὁκόταν καθημένῳ ἢ κατακειμένῳ φλέβια πιεσθῇ, ὥστε
and when to-one-sitting or lying small-veins are-pressed so-that
τὸ πνεῦμα μὴ διεξιέναι διὰ τῆς φλεβὸς, εὐθὺς νάρκη
the breath not to-pass-through through the vein at-once numbness
ἔχει. Περὶ μὲν τῶν φλεβῶν καὶ τῶν λοιπῶν οὕτως ἔχει.
holds About indeed the veins and the rest so it-is
Ἡ δὲ νοῦσος αὕτη γίνεται τοῖσι μὲν φλεγματίῃσι, τοῖσι 5
The and disease this comes-about to-the indeed phlegmatic to-the
δὲ χολώδεσιν οὔ. Ἄρχεται δὲ φύεσθαι ἐπὶ τοῦ ἐμβρύου
but bilious not It-begins and to-grow in the fetus
ἔτι ἐν τῇ μήτρῃ ἐόντος· καθαίρεται γὰρ καὶ ἀνθέει, ὥσπερ
still in the womb being is-purged for also blossoms as
τἆλλα μέρεα, πρὶν γενέσθαι, καὶ ὁ ἐγκέφαλος. Ἐν ταύτῃ
the-other parts before being-born also the brain In this
δὲ τῇ καθάρσει ἢν μὲν καλῶς καὶ μετρίως καθαρθῇ
and the purging if indeed well and moderately it-is-purged
καὶ μήτε πλέον μήτε ἔλασσον τοῦ δέοντος ἀποῤῥυῇ,
and neither more nor less than-the needful flows-off
οὕτως ὑγιεινοτάτην τὴν κεφαλὴν ἔχει· ἢν δὲ πλέονα ῥυῇ
so healthiest the head it-has if but more flows
ἀπὸ παντὸς τοῦ ἐγκεφάλου καὶ ἀπότηξις πολλὴ γένηται,
from all the brain and wasting much comes-about
νοσώδεά τε τὴν κεφαλὴν ἕξει αὐξόμενος καὶ ἤχου πλέην,
sickly both the head it-will-have growing and of-noise full
καὶ οὔτε ἥλιον οὔτε ψῦχος ἀνέξεται· ἢν δὲ ἀπὸ ἑνός τινος
and neither sun nor cold will-it-endure if but from one some
γένηται ἢ ὀφθαλμοῦ ἢ οὔατος, ἢ φλέψ τις συνισχνανθῇ,
it-comes-about either eye or ear or vein some is-shrunk

ἐκεῖνο κακοῦται τὸ μέρος, ὁκοίως ἂν καὶ τῆς ἀποτήξιος
that is-harmed the part as — also of-the wasting
ἔχῃ· ἢν δὲ κάθαρσις μὴ ἐπιγένηται, ἀλλὰ ξυστραφῇ τῷ
it-has if but purging not supervenes but is-collected in-the
ἐγκεφάλῳ, οὕτως ἀνάγκη φλεγματώδεα εἶναι. Καὶ ὁκόσοισι
brain so necessity phlegmatic to-be And as-many-as
μὲν παιδίοισιν ἐοῦσιν ἐξανθέει ἕλκεα ἐς τὴν κεφαλὴν καὶ
indeed children being break-out-in sores on the head and
ἐς τὰ οὔατα καὶ ἐς τὸν ἄλλον χρῶτα, καὶ σιαλώδεα
on the ears and on the other skin and slobbery
γίνεται καὶ μυξόῤῥοα, ταῦτα μὲν ῥᾳϊστα διάγει προϊούσης
become and snot-running these indeed most-easily get-on advancing
τῆς ἡλικίης· ἐνταῦθα γὰρ ἀφίει καὶ ἐκκαθαίρεται τὸ
the age there for it-discharges and is-purged-out the
φλέγμα, ὃ ἐχρῆν ἐν τῇ μήτρῃ καθαρθῆναι· καὶ τὰ
phlegm which ought in the womb to-be-purged and those
οὕτω καθαρθέντα οὐκ ἐπίληπτα γίνεται ταύτῃ τῇ νούσῳ
so purged not seized become by-this the disease
ὡς ἐπὶ τὸ πουλύ. Ὁκόσα δὲ καθαρά ἐστι, καὶ μήθ' ἕλκος
as for the most As-many-as but clean are and neither sore
μηδὲν μήτε μύξα μήτε σίελον αὐτοῖς προέρχεται μηδὲν,
any nor mucus nor saliva from-them comes-forth any
μήτε ἐν τῇσι μήτρῃσι πεποίηται τὴν κάθαρσιν, τούτοισιν
nor in the wombs has-made the purging for-these
ἐπικίνδυνόν ἐστιν ἁλίσκεσθαι ὑπὸ ταύτης τῆς νούσου.
dangerous it-is to-be-seized by this the disease

II · HOW PHLEGM BLOCKS THE VEINS

Phlegm flowing down from the brain brings palpitation and gasping to the heart and lungs, and diarrhea to the belly; in the veins it shuts out the air, and the patient falls speechless, foams, and kicks until the blood warms and masters it. Small children often die or are left twisted; the very old die or are paralyzed. In children it is set off by a brain heated and suddenly chilled, by a south wind after north winds, or by a fright; in the old by winter. After twenty it rarely begins, since the veins are full of blood and the brain firm.

Ἢν δὲ ἐπὶ τὴν καρδίην ποιήσηται ὁ κατάῤῥος τὴν 6
If and to the heart makes the catarrh the
πορείην, παλμὸς ἐπιλαμβάνει καὶ ἄσθματα, καὶ τὰ στήθεα
course palpitation seizes and asthmas and the chest
διαφθείρεται, ἔνιοι δὲ καὶ κυφοὶ γίνονται· ὁκόταν γὰρ
is-ruined some and also hunchbacked become when for
ἐπικατέλθῃ τὸ φλέγμα ψυχρὸν ἐπὶ τὸν πλεύμονα ἢ ἐπὶ
comes-down the phlegm cold onto the lung or onto
τὴν καρδίην, ἀποψύχεται τὸ αἷμα αἱ δὲ φλέβες πρὸς
the heart is-chilled the blood the and veins by
βίην ψυχόμεναι πρὸς τῷ πλεύμονι καὶ τῇ καρδίῃ πηδῶσι,
force being-cooled by the lung and the heart leap
καὶ ἡ καρδίη πάλλεται, ὥστε ὑπὸ τῆς ἀνάγκης ταύτης
and the heart throbs so-that by the necessity this
τὰ ἄσθματα ἐπιπίπτειν καὶ τὴν ὀρθοπνοίην. Οὐ γὰρ
the asthmas to-fall-upon and the orthopnea Not for
δέχεται τὸ πνεῦμα ὅσον ἐθέλει, μέχρις ἂν κρατηθῇ τοῦ
it-receives the breath as-much-as it-wishes until — is-mastered of-the
φλέγματος τὸ ἐπιῤῥυὲν καὶ διαθερμανθὲν διαχυθῇ ἐς τὰς
phlegm the having-flowed-in and warmed-through it-is-diffused into the
φλέβας· ἔπειτα παύεται τοῦ παλμοῦ καὶ τοῦ ἄσθματος·
veins then it-ceases from-the palpitation and the asthma

παύεται δὲ ὅκως ἂν τοῦ πλήθεος ἔχῃ· ἢν μὲν γὰρ πλέον
it-ceases and as — of-the quantity it-has if indeed for more
ἐπικαταῤῥυῇ, σχολαίτερον, ἢν δὲ ἔλασσον, θᾶσσον· καὶ ἢν
flows-down more-slowly if but less faster and if
μὲν πυκνότεροι ἔωσιν οἱ κατάῤῥοοι, πυκνότερα ἐπίληπτος
indeed more-frequent are the catarrhs more-frequently seized
γίνεται, ἢν δὲ μὴ, ἀραιότερα. Ταῦτα μὲν οὖν πάσχει,
he-becomes if but not more-rarely These-things indeed then he-suffers
ἢν ἐπὶ τὸν πλεύμονα καὶ τὴν καρδίην ἴῃ· ἢν δὲ ἐς
if to the lung and the heart it-goes if but into
τὴν κοιλίην, διάῤῥοιαι λαμβάνουσιν.
the belly diarrheas seize

Ὑποχόνδριον δὲ ἄριστον μὲν ἀνώδυνόν τε ἐὸν καὶ 7
Hypochondrium and best indeed painless both being and
μαλθακὸν καὶ ὁμαλὸν, καὶ ἐπὶ δεξιὰ καὶ ἐπ᾽ ἀριστερά.
soft and even both on right and on left
Φλεγμαῖνον δὲ, ἢ ὀδύνην παρέχον, ἢ ἐντεταμένον, ἢ
Inflamed but or pain causing or tense or
ἀνωμάλως διακείμενα τὰ δεξιὰ πρὸς τὰ ἀριστερὰ, ταῦτα
unevenly disposed the right toward the left these
πάντα φυλάσσεσθαι χρή. Εἰ δὲ καὶ σφυγμὸς ἐνείη ἐν
all to-guard-against one-must If and also pulsation should-be-in in
τῷ ὑποχονδρίῳ, θόρυβον σημαίνει, ἢ παραφροσύνην· ἀλλὰ
the hypochondrium disturbance it-signifies or derangement but
τοὺς ὀφθαλμοὺς ἐπικατιδεῖν τῶν τοιουτέων· ἢν γὰρ αἱ ὄψιες
the eyes to-look-at of-the such if for the pupils
πυκνὰ κινέωνται, μανῆναι τούτους ἐλπίς. Οἴδημα δὲ ἐν τῷ
often move to-go-mad these expectation Swelling and in the

ὑποχονδρίῳ σκληρόν τε ἐὸν καὶ ἐπώδυνον, κάκιστον μὲν, εἰ
hypochondrium hard both being and painful worst indeed if
παρ᾽ ἅπαν εἴη τὸ ὑποχόνδριον· εἰ δὲ καὶ εἴη ἐν τῷ ἑτέρῳ
along all it-were the hypochondrium if but also it-were in the one
μέρει, ἀκινδυνότερόν ἐστιν ἐν τῷ ἐπ᾽ ἀριστερά. Σημαίνει δὲ
part less-dangerous it-is in the on left It-signifies and
τὰ τοιαῦτα οἰδήματα ἐν ἀρχῇ μὲν θάνατον ὀλιγοχρόνιον
the such swellings in beginning indeed death short-lived
ἔσεσθαι· ἢν δὲ ὑπερβάλλῃ εἴκοσιν ἡμέρας ὅ τε πυρετὸς ἔχων
to-be if but it-exceeds twenty days the both fever holding
καὶ τὸ οἴδημα μὴ καθιστάμενον, ἐς διαπύησιν τρέπεται.
and the swelling not subsiding into suppuration it-turns
Γίγνεται δὲ τουτέοισιν ἐν τῇ πρώτῃ περιόδῳ καὶ αἵματος
Comes-about and to-these in the first period also of-blood
ῥῆξις ἐκ τῶν ῥινῶν, καὶ κάρτα ὠφελέει· ἀλλ᾽ ἐπανερωτᾶν
bursting from the nostrils and very it-benefits but to-ask
χρὴ, εἰ τὴν κεφαλὴν ἀλγέουσιν, ἢ ἀμβλυωπέουσιν· ἢν
one-must if the head they-ache or have-dim-sight if
γάρ τι τοιοῦτον εἴη, ἐνταῦθα ἂν ῥέποι.
for any such were there — it-would-incline
Μᾶλλον δὲ τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων,
More and in-the younger than-five and thirty years
τὴν τοῦ αἵματος ῥῆξιν προσδέχεσθαι χρή. Τὰ δὲ μαλθακὰ
the of-the blood bursting to-expect one-must The but soft
τῶν οἰδημάτων καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ ὑπείκοντα
of-the swellings and painless and to-the finger yielding
χρονιωτέρας τὰς κρίσιας ποιέεται, καὶ ἧσσον ἐκείνων
more-chronic the crises make and less than-those
δεινότερά ἐστιν. Εἰ δὲ ὑπερβάλλοι ἑξήκοντα ἡμέρας ὅ τε
more-terrible are If but it-should-exceed sixty days the both
πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθιστάμενον, ἔμπυον
fever holding and the swelling not subsiding suppurating

ἔσεσθαι σημαίνει· καὶ τοῦτο, καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ
to-be it-signifies both this and the-one in the other belly
κατὰ τωὐτό. Ὁκόσα μὲν οὖν ἐπώδυνά τέ ἐστι καὶ σκληρὰ
in the-same-way As-many-as indeed then painful both are and hard
καὶ μεγάλα, σημαίνει κίνδυνον θανάτου ὀλιγοχρονίου· ὁκόσα
and large signify danger of-death short-lived as-many-as
δὲ μαλθακά τε καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ πιεζόμενα
but soft both and painless and with-the finger pressed
ὑπείκει, χρονιώτερα ἐκείνων. Τὰς δὲ ἀποστάσιας ἧσσον τὰ ἐν
yield more-chronic than-those The and abscessions less those in
τῇ γαστρὶ οἰδήματα ποιέεται τῶν ἐν τοῖσιν ὑποχονδρίοισιν,
the belly swellings make than-those in the hypochondria
ἥκιστα δὲ τὰ ὑποκάτω τοῦ ὀμφαλοῦ ἐς ἐπιπύησιν τρέπεται·
least and those below the navel to suppuration turn
αἵματος δὲ ῥῆξιν ἐκ τῶν ἄνω τόπων μάλιστα προσδέχεσθαι.
of-blood and bursting from the upper places most to-expect
Ἁπάντων δὲ χρὴ τῶν οἰδημάτων χρονιζόντων περὶ
Of-all and one-must the swellings lingering about
ταῦτα τὰ χωρία ὑποσκέπτεσθαι τὰς ἐκπυήσιας.
these the places to-watch-for the suppurations
Τὰ δὲ διαπυήματα ὧδε δεῖ σκέπτεσθαι τὰ ἐντεῦθεν·
The and suppurations thus one-must to-examine the-ones from-there
ὁκόσα μὲν ἔξω τρέπεται, ἄριστά ἐστι, μικρά τε
as-many-as indeed outward turn best are small both
ἐόντα, καὶ ὡς μάλιστα ἐκκλίνοντα ἔξω, καὶ ἐς ὀξὺ
being and as most bending outward and to a-point
ἀποκυρτούμενα· τὰ δὲ μεγάλα τε ἐόντα καὶ πλατέα, καὶ
swelling-out the but large both being and broad and
ἥκιστα ἐς ὀξὺ ἀποκορυφούμενα, κάκιστα· ὅσα δὲ
least to a-point coming-to-a-head worst as-many-as and
ἔσω ῥήγνυται, ἄριστά ἐστιν, ἃ μηδὲν τῷ ἔξω χωρίῳ
inward burst best are which in-nothing with-the outer place

ἐπικοινωνέει, ἀλλ᾽ ἔστι προσεσταλμένα τε καὶ ἀνώδυνα
communicate but are drawn-in both and painless
καὶ πᾶν τὸ ἔξω χωρίον ὁμόχροον φαίνεται. Τὸ δὲ πῦον
and all the outer place of-one-color appears The and pus
ἄριστον λευκόν τε εἶναι καὶ ὁμαλὸν καὶ λεῖον καὶ ὡς
best white both to-be and even and smooth and as
ἥκιστα δυσῶδες· τὸ δὲ ἐναντίον τουτέου κάκιστον.
least foul-smelling the and opposite of-this worst

8 Οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νουσημάτων πάντες
The and dropsies those from the acute diseases all
κακοί· οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν, ἐπώδυνοί τέ
bad neither for from-the fever release painful both
εἰσι κάρτα καὶ θανατώδεες. Ἄρχονται δὲ οἱ πλεῖστοι μὲν
are very and deadly Begin and the most indeed
ἀπὸ τῶν κενεώνων καὶ τῆς ὀσφύος, οἱ δὲ ἀπὸ τοῦ
from the flanks and the loin the-others and from the
ἥπατος· οἷσι μὲν οὖν ἀπὸ τῶν κενεώνων καὶ τῆς ὀσφύος
liver for-whom indeed then from the flanks and the loin
αἱ ἀρχαὶ γίγνονται, οἵ τε πόδες οἰδέουσι, καὶ διάῤῥοιαι
the beginnings come-about the both feet swell and diarrheas
πολυχρόνιοι ἔχουσιν, οὔτε τὰς ὀδύνας λύουσαι τὰς ἐκ τῶν
long hold neither the pains relieving the from the
κενεώνων καὶ τῆς ὀσφύος, οὔτε τὴν γαστέρα λαπάσσουσαι·
flanks and the loin nor the belly emptying
ὁκόσοισι δὲ ἀπὸ τοῦ ἥπατος ὕδρωπες γίγνονται, βῆξαί τε
for-whomever but from the liver dropsies come-about to-cough both
θυμὸς τούτοισιν ἐγγίγνεται, καὶ οὐδέν τι ἀποπτύουσιν
desire in-these arises and nothing anything they-spit-up
ἄξιον λόγου, καὶ οἱ πόδες οἰδέουσι, καὶ ἡ γαστὴρ οὐ
worth account and the feet swell and the belly not
διαχωρέει, εἰ μὴ σκληρά τε καὶ πρὸς ἀνάγκην, καὶ περὶ
passes if not hard both and under compulsion and about

τὴν κοιλίην γίγνεται οἰδήματα, τὰ μὲν ἐπὶ δεξιὰ, τὰ
the belly come-about swellings the-ones indeed on right the-others
δ' ἐπ' ἀριστερὰ, ἱστάμενά τε καὶ καταπαυόμενα.
and on left arising both and subsiding
Κεφαλὴ δὲ καὶ χεῖρες καὶ πόδες ψυχρὰ ἐόντα κακὸν, τῆς 9
Head but and hands and feet cold being bad the
τε κοιλίης καὶ τῶν πλευρῶν θερμῶν ἐόντων. Ἄριστον
both belly and the sides hot being Best
δὲ καὶ ὅλον τὸ σῶμα θερμόν τε ἐὸν καὶ μαλθακὸν
and also whole the body hot both being and soft
ὁμαλῶς. Στρέφεσθαι δὲ χρὴ ῥηϊδίως τὸν ἀλγεῦντα, καὶ
evenly To-turn and one-must easily the sufferer and
ἐν τοῖσι μετεωρισμοῖσιν ἐλαφρὸν εἶναι· εἰ δὲ βαρὺς ἐὼν
in the raisings light to-be if but heavy being
φαίνοιτο καὶ τὸ ἄλλο σῶμα καὶ τὰς χεῖρας καὶ τοὺς
he-should-appear and the other body and the hands and the
πόδας, ἐπικινδυνότερον. Εἰ δὲ πρὸς τῷ βάρει καὶ οἱ
feet more-dangerous If and in-addition-to the heaviness also the
ὄνυχες καὶ οἱ δάκτυλοι πελιδνοὶ γίγνονται, προσδόκιμος
nails and the fingers livid become to-be-expected
ὁ θάνατος παραυτίκα· μελαινόμενοι δὲ παντελῶς οἱ
the death at-once blackening but entirely the
δάκτυλοι καὶ οἱ πόδες ἧσσον ὀλέθριοι τῶν πελιδνῶν
fingers and the feet less deadly than-the livid
εἰσιν· ἀλλὰ καὶ τἆλλα σημεῖα σκέπτεσθαι χρή· ἢν γὰρ
are but also the-other signs to-examine one-must if for
εὐπετέως φέρων φαίνηται τὸ κακὸν, καὶ ἄλλο τι τῶν
easily bearing he-appears the evil and other something of-the
περιεστικῶν πρὸς τουτέοισι τοῖσι σημείοισιν ὑποδεικνύῃ,
favorable besides these the signs indicates
τὸ νούσημα ἐς ἀπόστασιν τραπῆναι ἐλπὶς, ὥστε τὸν μὲν
the disease into abscession to-turn hope so-that the indeed

ἄνθρωπον περιγενέσθαι, τὰ δὲ μελανθέντα τοῦ σώματος
man to-survive the but blackened of-the body
ἀποπεσεῖν. Ὄρχιες δὲ καὶ αἰδοῖα ἀνεσπασμένα πόνους
to-fall-off Testicles but and genitals drawn-up pains
ἰσχυροὺς σημαίνει καὶ κίνδυνον θανατώδεα.
strong signify and danger deadly

10 Περὶ δὲ ὕπνων, ὥσπερ κατὰ φύσιν ξύνηθες ἡμῖν ἐστι, τὴν
About and sleeps as by nature usual for-us it-is the
μὲν ἡμέρην ἐγρηγορέναι χρὴ, τὴν δὲ νύκτα καθεύδειν.
indeed day to-be-awake one-must the but night to-sleep
Ἢν δὲ εἴη τοῦτο μεταβεβλημένον, κάκιον· ἥκιστα δ' ἂν
If and it-be this reversed worse least and —
λυπέοιτο, εἰ κοιμῷτο τὸ πρωΐ ἐς τὸ τρίτον μέρος τῆς
he-would-be-pained if he-sleep the morning to the third part of-the
ἡμέρης· οἱ δὲ ἀπὸ τουτέου τοῦ χρόνου ὕπνοι πονηρότεροί
day the but from this the time sleeps worse
εἰσι· κάκιστον δὲ μὴ κοιμᾶσθαι, μήτε τῆς νυκτὸς, μήτε
are worst and not to-sleep neither by-the night nor
τῆς ἡμέρης· ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνων ἀγρυπνέειν
by-the day either for from pain both and toils to-be-sleepless
ἢ παραφρονήσειν ἕπεται ἀπὸ τουτέου τοῦ σημείου.
or to-be-deranged follows from this the sign

11 Διαχώρημα δέ ἐστιν ἄριστον τὸ μαλθακόν τε καὶ
Stool and is best the soft both and
ξυνεστηκὸς, καὶ τὴν ὥρην ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρεε,
formed and at-the hour at-which also to-one-healthy it-passed
πλῆθος δὲ πρὸς λόγον τῶν ἐσιόντων· τοιαύτης γὰρ ἐούσης
quantity and in proportion to-the things-taken-in such for being
τῆς διεξόδου, ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν. Εἰ δὲ εἴη ὑγρὸν
the passage the lower belly would-be-healthy — If and it-be liquid
τὸ διαχώρημα, ξυμφέρει μήτε τρύζειν, μήτε πυκνόν τι
the stool it-benefits neither to-gurgle nor frequent somewhat

εἶναι, καὶ κατ᾽ ὀλίγον ὑποχωρέειν· κοπιῶν γὰρ ὁ ἄνθρωπος
to-be and by little to-pass tiring for the man
ὑπὸ τῆς ξυνεχέος ἐξαναστάσιος ἀγρυπνοίη ἄν· εἰ δὲ ἀθρόον
by the continual getting-up would-be-sleepless — if and in-a-mass
πολλάκις διαχωρέει, κίνδυνος λειποθυμῆσαι. Ἀλλὰ χρὴ
often it-passes danger to-faint But one-must
κατὰ τὸ πλῆθος τῶν ἐσιόντων ἢ δὶς ἢ τρὶς τῆς
according-to the quantity of-the things-taken-in either twice or three-times in-the
ἡμέρης ὑποχωρέειν, καὶ τῆς νυκτὸς ἅπαξ, πλείονα δ᾽ ἐπὶ
day to-pass and in-the night once more and toward
τὸ πρωΐ, ὥσπερ ξύνηθές ἐστι τῷ ἀνθρώπῳ. Παχύνεσθαι
the morning as usual it-is for-the man To-thicken
δὲ χρὴ τὸ διαχώρημα, ἰούσης πρὸς κρίσιν τῆς νούσου.
and one-must the stool going toward crisis the disease
Ὑπόπυῤῥον δὲ ἔστω καὶ μὴ λίην δυσῶδες. Ἐπιτήδειον δὲ
Reddish and let-it-be and not very foul-smelling Suitable and
καὶ ἕλμινθας στρογγύλας διεξιέναι μετὰ τοῦ διαχωρήματος,
also worms round to-pass with the stool
πρὸς κρίσιν ἰούσης τῆς νούσου. Δεῖ δὲ ἐν παντὶ τῷ
toward crisis going the disease One-must and in all the
νουσήματι λαπαρὴν τὴν κοιλίην εἶναι καὶ εὔογκον.
disease soft the belly to-be and of-good-bulk
Ὑδαρὲς δὲ κάρτα, ἢ λευκὸν, ἢ χλωρὸν, ἢ ἐρυθρὸν ἰσχυρῶς,
Watery and very or white or yellow-green or red strongly
ἢ ἀφρῶδες διαχωρέειν, πονηρὰ ταῦτα πάντα. Ἔτι δὲ
or frothy to-pass bad these all Further and
πονηρὸν, καὶ σμικρόν τε ἐὸν, καὶ γλισχρὸν, καὶ λευκὸν,
bad also small both being and viscous and white
καὶ ὑπόχλωρον, καὶ λεῖον. Τουτέων δὲ θανατωδέστερα
and greenish and smooth Of-these and more-deadly
ἂν εἴη τὰ μέλανα, ἢ λιπαρὰ, ἢ πελιὰ, ἢ ἰώδεα,
— would-be the black or fatty or livid or rusty

ἢ κάκοδμα. Τὰ δὲ ποικίλα, χρονιώτερα μὲν τουτέων,
or foul-smelling The but variegated more-chronic indeed than-these
ὀλέθρια δὲ οὐδὲν ἧσσον· ἔστι δὲ τὰ τοιαῦτα ξυσματώδεα,
deadly but nothing less are and the such scraping-like
καὶ χολώδεα, καὶ πρασοειδέα, καὶ μέλανα, ποτὲ μὲν
and bilious and leek-green and black sometimes indeed
ὁμοῦ διεξερχόμενα ἀλλήλοισι, ποτὲ δὲ κατὰ μέρος.
together passing-through with-one-another sometimes but in turn
Φῦσαν δὲ ἄνευ ψόφου καὶ περδήσιος διεξιέναι ἄριστον·
Wind and without noise and farting to-pass best
κρέσσον δὲ καὶ ξὺν ψόφῳ διελθεῖν ἢ αὐτοῦ ἀνειλέεσθαι·
better and also with noise to-pass-through than there to-be-rolled-up
καὶ οὕτω διελθοῦσα σημαίνει ἢ πονέειν τι τὸν
and so passing signifies either to-suffer something the
ἄνθρωπον, ἢ παραφρονέειν, ἢν μὴ ἑκὼν ὁ ἄνθρωπος
man or to-be-deranged if not willingly the man
οὕτω τὴν ἄφεσιν τῆς φύσης ποιήσηται. Τοὺς δὲ ἐκ τῶν
so the release of-the wind makes The and from the
ὑποχονδρίων πόνους τε καὶ κυρτώματα, ἢν ᾖ νεαρὰ καὶ
hypochondria pains both and swellings if it-be recent and
μὴ ξὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ
not with inflammation releases rumbling arising in the
ὑποχονδρίῳ, καὶ μάλιστα μὲν διεξιὼν ξὺν κόπρῳ τε
hypochondrium and most indeed passing-through with excrement both
καὶ οὔρῳ καὶ φύσῃ, ἢν δὲ μὴ, καὶ αὐτὸς δὴ περαιωθεὶς
and urine and wind if but not also itself indeed having-passed-across
ὠφελέει· ὠφελέει δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία.
it-benefits it-benefits and also going-down into the lower places
12 Τὸ δὲ οὖρον ἄριστόν ἐστιν, ὅταν ᾖ λευκή τε ἡ ὑπόστασις,
The and urine best is when is white both the sediment
καὶ λείη, καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἔστ' ἂν
and smooth and even through all the time until —

κριθῇ ἡ νοῦσος· σημαίνει γὰρ ἀσφάλειάν τε καὶ
reaches-crisis the disease it-signifies for safety both and
νούσημα ὀλιγοχρόνιον ἔσεσθαι. Εἰ δὲ διαλείποι, καὶ ποτὲ
disease short-lived to-be If and it-intermit and sometimes
μὲν καθαρὸν οὐρέοιτο, ποτὲ δὲ ὑφίσταται τὸ λευκὸν καὶ
indeed clean be-urinated sometimes but settles the white and
λεῖον, χρονιωτέρη γίγνεται ἡ νοῦσος καὶ ἧσσον ἀσφαλής.
smooth more-chronic becomes the disease and less safe
Εἰ δὲ εἴη τό τε οὖρον ὑπέρυθρον καὶ ἡ ὑπόστασις αὐτέου
If and it-be the both urine reddish and the sediment its
ὁμοίη καὶ λείη, πολυχρονιώτερον μὲν τοῦτο τοῦ πρώτου
similar and smooth longer-lasting indeed this than-the first
γίγνεται, σωτήριον δὲ κάρτα. Κριμνώδεες δὲ ἐν τοῖσιν
becomes saving but very Like-coarse-meal and in the
οὔροισιν αἱ ὑποστάσιες, πονηραί· τουτέων δέ εἰσι κακίους
urines the sediments bad than-these and are worse
αἱ πεταλώδεες· αἱ λευκαὶ δὲ καὶ λεπταὶ, κάρτα φλαῦραι·
the leaf-like the white but and thin very bad
τουτέων δ' ἔτι κακίους εἰσὶν αἱ πιτυρώδεες. Νεφέλαι δὲ
than-these and still worse are the bran-like Clouds and
ἐμφερόμεναι τοῖσιν οὔροισι, λευκαὶ μὲν ἀγαθαὶ, μέλαιναι
borne-in-suspension in-the urines white indeed good black
δὲ φλαῦραι. Ἔστ' ἂν δὲ πυῤῥόν τε εἴη τὸ οὖρον καὶ
but bad As-long-as — and reddish both be the urine and
λεπτὸν, σημαίνει τὸ νούσημα ἄπεπτον εἶναι· ἢν δὲ καὶ
thin it-signifies the disease unconcocted to-be if and also
πουλυχρόνιον εἴη τοιοῦτον ἐὸν, κίνδυνος μὴ οὐ δυνήσεται
long-lasting it-be such being danger lest not will-be-able
ὁ ἄνθρωπος διαρκέσαι, ἔστ' ἂν πεπανθῇ ἡ νοῦσος.
the man to-hold-out until — is-ripened the disease

Θανατωδέστερα δὲ τῶν οὔρων τά τε δυσώδεα καὶ
More-deadly and of-the urines the both foul-smelling and
ὑδατώδεα καὶ μέλανα καὶ παχέα· ἔστι δὲ τοῖσι μὲν ἀνδράσι
watery and black and thick are and for-the indeed men
καὶ τῇσι γυναιξὶ τὰ μέλανα τῶν οὔρων κάκιστα, τοῖσι δὲ
and for-the women the black of-the urines worst for-the and
παιδίοισι τὰ ὑδατώδεα. Ὁκόσοι δ' ἂν οὖρα λεπτὰ καὶ ὠμὰ
children the watery As-many-as and — urines thin and raw
οὐρέωσι πουλὺν χρόνον, ἢν τἄλλα ὡς περιεσομένοισι
urinate long time if the-other-things as for-those-going-to-survive
σημεῖα ᾖ, τουτέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ
signs be for-these abscession one-must to-expect into the
κάτω τῶν φρενῶν χωρία. Καὶ τὰς λιπαρότητας δὲ τὰς
lower of-the diaphragm places Also the fatty-films and the
ἄνω ἐφισταμένας ἀραχνοειδέας μέμφεσθαι· ξυντήξιος γὰρ
above floating cobweb-like to-blame of-wasting for
σημεῖα. Σκοπέειν δὲ χρὴ τῶν οὔρων, ἐν οἷσιν αἱ νεφέλαι,
signs To-examine and one-must of-the urines in which the clouds
ἤν τε ἄνω, ἤν τε κάτω ἔωσι, καὶ τὰ χρώματα ὁκοῖα
whether — above or — below are and the colors what-kind
ἴσχουσι, καὶ τὰς μὲν κάτω φερομένας ξὺν τοῖσι χρώμασιν,
they-have and those indeed downward borne with the colors
οἷσιν εἴρηται, ἀγαθὰς εἶναι νομίζειν καὶ ἐπαινέειν, τὰς δὲ
which have-been-said good to-be to-think and to-praise those but
ἄνω ξὺν τοῖσι χρώμασιν, οἷσιν εἴρηται, κακὰς εἶναι, καὶ
above with the colors which have-been-said bad to-be and
μέμφεσθαι. Μὴ ἐξαπατάτω δέ σε, ἤν γε ἡ κύστις τι
to-blame Not let-deceive and you if at-least the bladder some
νούσημα ἔχουσα τῶν οὔρων τὰ τοιαῦτα ἀποδιδῷ· οὐ γὰρ
disease having of-the urines the such gives-back not for
τοῦ ὅλου σώματος σημεῖόν ἐστιν, ἀλλ' αὐτῆς καθ' ἑωυτῆς.
of-the whole body sign it-is but of-itself by itself

Vomit should be mixed of bile and phlegm; leek-green, livid, or black is bad. In diseases of the lung, sputum should come up early and easily, with the yellow mixed through it; unmixed or black sputum is dangerous, and sneezing there is bad. Suppuration is foretold by its signs and breaks by the days; abscessions by the ears or into the legs save the patient. Pains of the loins that rise to the diaphragm, and a hard, painful bladder with continuous fever, are deadly, the bladder above all in children from seven to fifteen.

13

Ἔμετος δὲ ὠφελιμώτατος ὁ φλέγματος καὶ χολῆς
Vomit and most-beneficial the of-phlegm and bile
ξυμμεμιγμένων ὅτι μάλιστα· καὶ μὴ παχὺς κάρτα, μηδὲ
mixed-together as most and not thick very nor
πολὺς ἐμεέσθω· οἱ γὰρ ἀκρητέστεροι κακίους εἰσίν. Εἰ
much let-it-be-vomited the for more-unmixed worse are If
δὲ εἴη τὸ ἐμεύμενον πρασοειδὲς, ἢ πελιὸν, ἢ μέλαν, ὅ
but it-be the vomited leek-green or livid or black what
τι ἂν ᾖ τουτέων τῶν χρωμάτων, νομίζειν χρὴ πονηρὸν
— — be of-these the colors to-think one-must bad
εἶναι· εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ ὠὐτὸς ἄνθρωπος
to-be if and also all the colors the the-same man
ἐμέοι, κάρτα ὀλέθριον τοῦτο γίγνεται· τάχιστον δὲ
should-vomit very deadly this becomes quickest and
θάνατον σημαίνει τὸ πελιὸν τῶν ἐμεσμάτων, εἰ ὄζει
death signifies the livid of-the vomits if it-smells
δυσῶδες. Πᾶσαι δὲ αἱ ὑπόσαπροι καὶ δυσώδεες ὀσμαὶ
foul All and the somewhat-putrid and foul smells
κακαὶ ἐπὶ πᾶσι τοῖσιν ἐμεομένοισιν.
bad in all the things-vomited

14 Πτύελον χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι τοῖσι περὶ τὸν
Sputum one-must in all the pains the about the
πλεύμονα καὶ τὰς πλευρὰς ταχέως τε ἀναπτύεσθαι καὶ
lung and the sides quickly both to-be-coughed-up and
εὐπετέως, ξυμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς
easily mixed both to-appear the yellow strongly
τῷ πτυέλῳ. Εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς
with-the sputum If for much later after the beginning of-the
ὀδύνης ἀναπτύοιτο, ξανθὸν ἐὸν, ἢ πυῤῥὸν, ἢ πολλὴν βῆχα
pain it-be-coughed-up yellow being or reddish or much cough
παρέχον, ἢ μὴ ἰσχυρῶς ξυμμεμιγμένον, κάκιον γίγνεται·
causing or not strongly mixed worse becomes
τό τε γὰρ ξανθὸν ἄκρητον ἐὸν κινδυνώδες, τὸ δὲ λευκὸν
the both for yellow unmixed being dangerous the but white
καὶ γλίσχρον καὶ στρογγύλον ἀλυσιτελές. Κακὸν δὲ καὶ
and viscous and round unprofitable Bad and also
τὸ χλωρὸν ἐὸν κάρτα καὶ τὸ ἀφρῶδες· εἰ δὲ εἴη οὕτως
the yellow-green being very and the frothy if and it-be so
ἄκρητον ὥστε καὶ μέλαν φαίνεσθαι, δεινότερόν ἐστι τοῦτο
unmixed so-that even black to-appear more-terrible is this
ἐκείνων· κακὸν δὲ καὶ ἢν μηδὲν ἀνακαθαίρηται, μηδὲ
than-those bad and also if nothing is-cleared-up nor
προΐῃ ὁ πλεύμων, ἀλλὰ πλήρης ἐὼν ζέῃ ἐν τῇ φάρυγγι.
discharges the lung but full being boils in the throat
Κορύζας δὲ καὶ πτάρμους ἐπὶ πᾶσι τοῖσι περὶ τὸν
Colds and also sneezes in all the about the
πλεύμονα νουσήμασι προγεγονέναι, ἢ ἐπιγενέσθαι, κακόν·
lung diseases to-have-preceded or to-supervene bad
ἀλλ᾽ ἐν τοῖσιν ἄλλοισι νουσήμασι τοῖσι θανατωδεστάτοισιν
but in the other diseases the most-deadly
οἱ πτάρμοὶ λυσιτελέουσιν. Αἵματι δὲ ξυμμεμιγμένον μὴ
the sneezes are-profitable With-blood and mixed not

πολλῷ πτύελον ξανθὸν ἐν τοῖσι περιπλευμονικοῖσιν, ἐν
much sputum yellow in the pneumonic(-cases) in
ἀρχῇ μὲν τῆς νούσου πτυόμενον, περιεστικὸν καὶ κάρτα
beginning indeed of-the disease spat favorable and very
ὠφελέει· ἑβδομαίῳ δὲ ἐόντι καὶ παλαιοτέρῳ ἧσσον ἀσφαλές.
it-benefits on-the-seventh but being and older less safe
Πάντα δὲ πτύελα πονηρά ἐστιν ὁκόσα ἂν τὴν ὀδύνην
All and sputa bad are as-many-as — the pain
μὴ παύῃ. Κάκιστα δὲ τὰ μέλανα, ὡς διαγέγραπται. Τὰ
not stop Worst and the black as has-been-described The
δὲ παύοντα ὀδύνην, πάντων ἀμείνω ἀναπτυόμενα.
but stopping pain of-all better being-coughed-up
Ὁκόσα δὲ τῶν ἀλγημάτων ἐκ τουτέων τῶν χωρίων μὴ 15
As-many-as and of-the pains from these the places not
παύηται, μήτε πρὸς τὰς τῶν πτυέλων καθάρσιας, μήτε πρὸς
cease neither at the of-the sputa clearings nor at
τὴν τῆς κοιλίης ἐκκόπρωσιν, μήτε πρὸς τὰς φλεβοτομίας
the of-the belly evacuation nor at the bleedings
τε καὶ φαρμακείας καὶ διαίτας, εἰδέναι δεῖ ἐκπυήσοντα.
both and drug-givings and regimens to-know one-must going-to-suppurate
Τῶν δὲ ἐκπυημάτων ὁκόσα μὲν ἔτι χολώδεος ἐόντος τοῦ
Of-the and suppurations as-many-as indeed still bilious being the
πτυέλου ἐκπυΐσκεται, ὀλέθρια κάρτα, ἤν τε ἐν μέρει τὸ
sputum suppurate deadly very whether both in part the
χολῶδες τῷ πύῳ ἀναπτύοιτο, ἤν τε ὁμοῦ· μάλιστα δὲ,
bilious with-the pus be-coughed-up or and together most and
ἢν ἄρξηται χωρέειν τὸ ἐμπύημα ἀπὸ τουτέου τοῦ πτυέλου,
if begins to-move the suppuration from this the sputum
ἑβδομαίου ἐόντος τοῦ νουσήματος. Ἐλπὶς δὲ τὸν τὰ
on-the-seventh being the disease Expectation and the-one the
τοιαῦτα πτύοντα ἀποθανεῖσθαι τεσσαρεσκαιδεκαταῖον, ἢν μή
such spitting to-die on-the-fourteenth if not

τι αὐτέῳ ἐπιγένηται ἀγαθόν. Ἔστι δὲ τὰ μὲν ἀγαθὰ
anything to-him supervenes good Are and the indeed good
τάδε· εὐπετέως φέρειν τὸ νούσημα, εὔπνοον εἶναι, τῆς
these easily to-bear the disease good-breathing to-be from-the
ὀδύνης ἀπηλλάχθαι, τό τε πτύελον ῥηϊδίως ἀναβήσσειν,
pain to-be-freed the both sputum easily to-cough-up
τό τε σῶμα ὁμαλῶς φαίνεσθαι θερμόν τε εἶναι καὶ
the both body evenly to-appear hot both to-be and
μαλθακὸν, καὶ δίψαν μὴ ἔχειν, οὖρά τε καὶ διαχωρήματα
soft and thirst not to-have urines both and stools
καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται ἕκαστα εἶναι
and sleeps and sweats as has-been-described each to-be
ἀγαθὰ, ἐπιγίγνεσθαι· οὕτω μὲν γὰρ ἁπάντων τουτέων
good to-supervene so indeed for all these
ἐπιγιγνομένων, οὐκ ἂν ἀποθάνοι ὁ ἄνθρωπος· ἢν δὲ τὰ
supervening not — would-die the man if and the-ones
μέν τοι αὐτέων ἐπιγίγνοιτο, τὰ δὲ μὴ, οὐ πλείονα
indeed — of-them should-supervene the-others but not not more
χρόνον ζήσας, ἢ τεσσαρεσκαίδεκα ἡμέρας, ἀπόλοιτ' ἂν ὁ
time having-lived than fourteen days would-perish — the
ἄνθρωπος. Κακὰ δὲ τὰ ἐναντία τουτέων, ἤγουν δυσπετέως
man Bad and the opposite of-these that-is with-difficulty
φέρειν τὴν νοῦσον, πνεῦμα μέγα καὶ πυκνὸν εἶναι, τὴν
to-bear the disease breath large and frequent to-be the
ὀδύνην, μὴ παύεσθαι, τὸ πτύελον μόλις ἀναβήσσειν,
pain not to-cease the sputum with-difficulty to-cough-up
διψῆν κάρτα, τό τε σῶμα ὑπὸ πυρὸς ἀνωμάλως ἔχεσθαι,
to-thirst very the both body by heat unevenly to-be-held
καὶ τὴν μὲν κοιλίην καὶ τὰς πλευρὰς θερμὰς εἶναι
and the indeed belly and the sides hot to-be
ἰσχυρῶς, τὸ δὲ μέτωπον καὶ τὰς χεῖρας καὶ τοὺς πόδας
strongly the but forehead and the hands and the feet

ψυχροὺς, οὖρα δὲ καὶ διαχωρήματα καὶ ὕπνους καὶ
cold urines but and stools and sleeps and
ἱδρῶτας, ὡς διαγέγραπται ἕκαστα εἶναι κακὰ, ἐπιγίγνεσθαι
sweats as has-been-described each to-be bad to-supervene
οὕτω γὰρ εἰ ἐπιγένοιτό τι τῷ πτυέλῳ τουτέῳ·
so for if should-supervene any to-the sputum this
ἀπόλοιτ᾽ ἂν ὁ ἄνθρωπος πρὶν ἢ ἐς τὰς τεσσαρεσκαίδεκα
would-perish — the man before than to the fourteen
ἡμέρας ἀφικέσθαι, ἢ ἐναταῖος, ἢ ἑνδεκαταῖος. Οὕτως οὖν
days to-arrive either on-the-ninth or on-the-eleventh So then
ξυμβάλλεσθαι χρὴ, ὡς τοῦ πτυέλου τουτέου θανατώδεος,
to-conclude one-must as of-the sputum this deadly
ἐόντος μάλα, καὶ οὐ φθάνοντος ἐς τεσσαρεσκαίδεκα ἡμέρας.
being very and not reaching to fourteen days
Τὰ δὲ ἐπιγενόμενα κακά τε καὶ ἀγαθὰ ξυλλογιζόμενον
The and supervening bad both and good reckoning-up
ἐκ τουτέων χρὴ τὰς προῤῥήσιας προλέγειν οὕτω γὰρ
from these one-must the predictions to-foretell so for
ἄν τις ἀληθεύοι μάλιστα. Αἱ δὲ ἄλλαι ἐκπυήσιες
— anyone would-speak-truly most The and other suppurations
ῥήγνυνται αἱ πλεῖσται, αἱ μὲν εἰκοσταῖαι, αἱ δὲ
burst the most the-ones indeed on-the-twentieth the-others but
τριηκοσταῖαι, αἱ δὲ τεσσαρακονθήμεροι, αἱ δὲ πρὸς
on-the-thirtieth the-others but of-forty-days the-others but to
τὰς ἑξήκοντα ἡμέρας ἀφικνέονται.
the sixty days reach
Ἐπισκέπτεσθαι δὲ χρὴ τὴν ἀρχὴν τοῦ ἐμπυήματος 16
To-consider and one-must the beginning of-the suppuration
ἔσεσθαι λογιζόμενον ἀπὸ τῆς ἡμέρης ἧς τὸ πρῶτον ὁ
to-be reckoning from the day on-which the first the
ἄνθρωπος ἐπύρεξεν, ἢ εἴ ποτε αὐτὸν ῥῖγος ἔλαβε, καὶ εἰ
man had-fever or if ever him chill seized and if

φαίη ἀντὶ τῆς ὀδύνης αὐτέῳ βάρος γεγενῆσθαι ἐν τῷ
he-should-say instead-of the pain to-him heaviness to-have-come-about in the
τόπῳ ἐν ᾧ ἤλγεεν· ταῦτα γὰρ ἐν ἀρχῇσι γίγνεται τῶν
place in which he-ached these-things for in beginnings come-about of-the
ἐμπυημάτων. Ἐξ οὖν τουτέων τῶν χρόνων τὴν ῥῆξιν χρὴ
suppurations From then these the times the bursting one-must
προσδέχεσθαι τῶν ἐμπυημάτων ἔσεσθαι ἐς τοὺς χρόνους τοὺς
to-expect of-the suppurations to-be at the times the
προειρημένους. Εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μοῦνον,
aforesaid If and it-be the suppuration on one-side only
στρέφειν τε καὶ καταμανθάνειν χρὴ ἐπὶ τουτέοισι, μή
to-turn both and to-observe one-must on these whether
τι ἔχῃ ἄλγημα ἐν τῷ ἑτέρῳ πλευρῷ· καὶ ἢν θερμότερον
any he-has pain in the other side and if hotter
ᾖ τὸ ἕτερον τοῦ ἑτέρου, κατακλινομένου ἐπὶ τὸ ὑγιαῖνον
be the one than-the other lying on the healthy
πλευρὸν, ἐρωτᾶν εἴ τι αὐτέῳ δοκέει βαρὺ ἀποκρέμασθαι
side to-ask if anything to-him seems heavy to-hang
ἐκ τοῦ ἄνωθεν. Εἰ γὰρ εἴη τοῦτο, ἐπὶ θάτερόν ἐστι τὸ
from the above If for it-be this on one-side is the
ἐμπύημα, ἐπὶ ὁκοῖον ἂν πλευρὸν τὸ βάρος γίγνηται.
suppuration on whichever — side the heaviness comes-about

17 Τοὺς δὲ ξύμπαντας ἐμπύους γιγνώσκειν χρὴ τοισίδε τοῖσι
The and all suppurating to-recognize one-must by-these the
σημείοισι. Πρῶτον μὲν, ὁ πυρετὸς οὐκ ἀφίησιν, ἀλλὰ
signs First indeed the fever not lets-go but
τὴν μὲν ἡμέρην λεπτὸς ἴσχει, τὴν δὲ νύκτα πλείων, καὶ
the indeed day light holds the but night greater and
ἱδρῶτες πολλοὶ ἐπιγίγνονται, βῆξαί τε θυμὸς ἐγγίγνεται
sweats many supervene to-cough both desire arises
αὐτέοισιν, καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον λόγου, καὶ οἱ
in-them and they-spit-up nothing worth account and the

μὲν ὀφθαλμοὶ ἔγκοιλοι γίγνονται, αἱ δὲ γνάθοι ἐρυθήματα
indeed eyes hollow become the and cheeks redness
ἴσχουσι, καὶ οἱ μὲν ὄνυχες τῶν χειρῶν γρυποῦνται, οἱ
have and the indeed nails of-the hands curve the
δὲ δάκτυλοι θερμαίνονται, καὶ μάλιστα οἱ ἄκροι, καὶ ἐν
and fingers grow-hot and most the tips and in
τοῖσι ποσὶν οἰδήματα γίγνεται, καὶ σιτίων οὐκ ἐπιθυμέουσι,
the feet swellings come-about and food not they-desire
καὶ φλύκταιναι γίγνονται ἀνὰ τὸ σῶμα. Ὁκόσα μὲν οὖν
and blisters come-about over the body As-many-as indeed then
ἐγχρονίζει τῶν ἐμπυημάτων, ἔχει τὰ σημεῖα ταῦτα, καὶ
are-prolonged of-the suppurations have the signs these and
πιστεύειν αὐτέοισι χρὴ κάρτα· ὁκόσα δὲ ὀλιγοχρόνιά ἐστι,
to-trust them one-must very as-many-as but short are
τουτέοισιν ἐπισημαίνεται, ἤν τι ἐπιφαίνηται, οἷα καὶ
by-these are-indicated if anything appears such-as also
τοῖσιν ἐν ἀρχῇσι γιγνομένοισιν, ἅμα δὲ καὶ ἤν τι
in-those in beginnings occurring at-the-same-time and also if somewhat
δυσπνούστερος ᾖ ὁ ἄνθρωπος. Τὰ δὲ ταχύτερον αὐτέων καὶ
more-short-of-breath be the man The and faster of-them and
βραδύτερον ῥηγνύμενα τοισίδε γιγνώσκειν χρή· ἢν μὲν ὁ
slower bursting by-these to-recognize one-must if indeed the
πόνος ἐν ἀρχῇσι γίγνηται, καὶ ἡ δύσπνοια καὶ ἡ βὴξ καὶ
pain in beginnings comes-about and the dyspnea and the cough and
ὁ πτυαλισμὸς διατείνῃ, ἐς τὰς εἴκοσιν ἡμέρας προσδέχεσθαι
the spitting continues to the twenty days to-expect
τὴν ῥῆξιν, ἢ καὶ ἔτι πρόσθεν· ἢν δὲ ἡσυχαίτερος ὁ πόνος ᾖ,
the bursting or even still earlier if but quieter the pain be
καὶ τἄλλα πάντα κατὰ λόγον, τουτέοισι προσδέχεσθαι
and the-other-things all according-to reason for-these to-expect

τὴν ῥῆξιν ἐς ὕστερον· γίγνεσθαι δὲ ἀνάγκη καὶ πόνον
the bursting to later to-come-about and necessity both pain
καὶ δύσπνοιαν καὶ πτυαλισμὸν πρὸ τῆς τοῦ πύου ῥήξιος.
and dyspnea and spitting before the of-the pus bursting
Περιγίγνονται δὲ τουτέων μάλιστα μὲν οὓς ἂν ἀφῇ ὁ
Survive and of-these most indeed whom — leaves the
πυρετὸς αὐθημερὸν μετὰ τὴν ῥῆξιν, καὶ σιτίων ταχέως
fever the-same-day after the bursting and food quickly
ἐπιθυμέωσι, καὶ δίψης ἀπηλλαγμένοι ἔωσι, καὶ ἡ γαστὴρ
they-desire and of-thirst freed are and the belly
σμικρά τε καὶ ξυνεστηκότα ὑποχωρέῃ, καὶ τὸ πῦον λευκόν
small both and formed passes and the pus white
τε καὶ λεῖον καὶ ὁμόχροον ᾖ καὶ φλέγματος ἀπηλλαγμένον,
both and smooth and of-one-color be and of-phlegm freed
καὶ ἄτερ πόνου τε καὶ βηχὸς ἰσχυρῆς ἀνακαθαίρηται.
and without pain both and cough strong is-cleared-up
Ἄριστα μὲν οὕτω καὶ τάχιστα ἀπαλλάσσουσιν· ἢν δὲ
Best indeed so and quickest get-free if but
μὴ, οἷσιν ἂν ἐγγυτάτω τουτέων γίγνηται. Ἀπόλλυνται
not for-whom — nearest to-these it-comes-about Die
δὲ οὓς ἂν ὅ τε πυρετὸς μὴ ἀφῇ, ἢ δοκέων αὐτέους
and whom — the both fever not leaves or seeming them
ἀφιέναι, αὖθις φαίνηται ἀναθερμαινόμενος, καὶ δίψαν μὲν
to-leave again appears heating-up and thirst indeed
ἔχωσι, σιτίων δὲ μὴ ἐπιθυμέωσι, καὶ ἡ κοιλίη ὑγρὴ ᾖ,
they-have food but not desire and the belly moist be
καὶ τὸ πῦον χλωρὸν ἢ πελιὸν πτύῃ, ἢ φλεγματῶδες καὶ
and the pus yellow-green or livid he-spits or phlegmy and
ἀφρῶδες· ἢν ταῦτα πάντα γίγνηται, ἀπόλλυνται· ὁκόσοισι
frothy if these all come-about they-die for-whomever
δ’ ἂν τουτέων τὰ μὲν ἐπιγένηται, τὰ δὲ μὴ, οἱ
but — of-these the-ones indeed supervene the-others but not the-ones

μὲν αὐτέων ἀπόλλυνται, οἱ δὲ ἐν πολλῷ χρόνῳ
indeed of-them die the-others but in much time
περιγίγνονται. Ἀλλ' ἐκ πάντων τῶν τεκμηρίων τῶν
survive But from all the proofs the
ἐόντων ἐν τουτέοισι σημαίνεσθαι, καὶ τοῖσιν ἄλλοισι πᾶσιν.
being in these to-be-signified and in-the other all
Ὁκόσοισι δὲ ἀποστάσιες γίγνονται ἐκ τῶν περιπλευμονικῶν 18
For-whomever and abscessions come-about from the pneumonic
νουσημάτων παρὰ τὰ ὦτα, καὶ ἐκπυέουσιν, ἢ ἐς τὰ κάτω
diseases beside the ears and they-suppurate or into the lower
χωρία, καὶ συριγγοῦνται, οὗτοι περιγίγνονται. Ἐπισκέπτεσθαι
places and form-fistulas these survive To-consider
δὲ χρὴ τὰ τοιαῦτα ὧδε· ἢν ὅ τε πυρετὸς ἔχῃ, καὶ ἡ
and one-must the such thus if the both fever holds and the
ὀδύνη μὴ παύηται, καὶ τὸ πτύελον μὴ ἐκχωρέῃ κατὰ
pain not stops and the sputum not comes-out according-to
λόγον, μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, μηδὲ
reason nor bilious the of-the belly passages nor
εὔλυτοί τε καὶ ἄκρητοι γίγνοιντο, καὶ μηδὲ τὸ οὖρον
loose both and unmixed should-be and nor the urine
πουλύ τε κάρτα καὶ πολλὴν ὑπόστασιν ἔχον, ὑπηρετέηται
much both very and much sediment having it-is-attended
δὲ περιεστικῶς ὑπὸ τῶν λοιπῶν πάντων τῶν περιεστικῶν
but favorably by the remaining all the favorable
σημείων, τουτέοισι χρὴ τὰς τοιαύτας ἀποστάσιας ἐλπίζειν
signs for-these one-must the such abscessions to-expect
ἔσεσθαι. Γίγνονται δὲ αἱ μὲν ἐς τὰ κάτω χωρία, οἷσιν
to-be Come-about and the indeed into the lower places for-whom
ἂν περὶ τὰ ὑποχόνδρια τοῦ φλέγματός τι ἐγγένηται· αἱ
— about the hypochondria of-the phlegm some arises the
δὲ ἄνω, οἷσι τὸ ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον
but upper for-whom the hypochondrium soft both and painless

διατελέῃ, δύσπνοος δέ τινα χρόνον γενόμενος παύσηται,
continues short-of-breath but some time having-become stops
ἄτερ φανερῆς προφάσιος ἄλλης. Αἱ δὲ ἀποστάσιες αἱ ἐς
without manifest cause other The and abscessions the into
τὰ σκέλεα ἐν τῇσι περιπλευμονίῃσι τῇσιν ἰσχυρῇσί τε καὶ
the legs in the pneumonias the strong both and
ἐπικινδύνοισι λυσιτελέες μὲν πᾶσαι, ἄρισται δὲ αἱ τοῦ
dangerous profitable indeed all best but the the
πτυέλου ἐν μεταβολῇ ἐόντος γιγνόμεναι· εἰ γὰρ τὸ οἴδημα
sputum in change being occurring if for the swelling
καὶ ἡ ὀδύνη γίγνοιτο, τοῦ πτυέλου ἀντὶ ξανθοῦ πυώδεος
and the pain should-come-about the sputum instead-of yellow purulent
γενομένου καὶ ἐκχωρέοντος ἔξω, οὕτως ἂν ἀσφαλέστατα
having-become and coming-out out so — most-safely
ὅ τε ἄνθρωπος περιγίγνοιτο, καὶ ἡ ἀπόστασις ἀνώδυνος
the both man would-survive and the abscession painless
τάχιστα παύσαιτο· εἰ δὲ τὸ πτύελον μὴ ἐκχωρέοι καλῶς,
most-quickly would-stop if but the sputum not should-come-out well
μηδὲ τὸ οὖρον ὑπόστασιν ἀγαθὴν ἔχον φαίνοιτο, κίνδυνος
nor the urine sediment good having should-appear danger
χωλὸν γενέσθαι τὸ ἄρθρον ἢ πολλὰ πρήγματα παρασχεῖν.
lame to-become the joint or many troubles to-cause
Ἢν δὲ ἀφανίζωνται καὶ παλινδρομέωσιν αἱ ἀποστάσιες,
If and they-disappear and run-back the abscessions
τοῦ πτυέλου μὴ ἐκχωρέοντος, καὶ τοῦ πυρετοῦ ἔχοντος,
the sputum not coming-out and the fever holding
δεινόν· κίνδυνος γὰρ μὴ παραφρονήσῃ καὶ ἀποθάνῃ ὁ
terrible danger for lest he-become-deranged and die the
ἄνθρωπος. Τῶν δὲ ἐμπύων τῶν ἐκ τῶν περιπλευμονικῶν
man Of-the and suppurating those from the pneumonic(-cases)
οἱ γεραίτεροι μᾶλλον ἀπόλλυνται· ἐκ δὲ τῶν ἄλλων
the older more die from and the other

ἐμπυημάτων οἱ νεώτεροι μᾶλλον ἀποθνήσκουσιν. Ὁκόσοι
suppurations the younger more die As-many-as
δὲ τῶν ἐμπύων καίονται ἢ τέμνονται, οἷσιν ἂν καθαρὸν
and of-the suppurating are-cauterized or are-cut for-whom — pure
μὲν τὸ πῦον ᾖ καὶ λευκὸν καὶ μὴ δυσῶδες, σώζονται·
indeed the pus be and white and not foul-smelling are-saved
οἷσι δὲ ὕφαιμόν τε καὶ βορβορῶδες, ἀπόλλυνται.
for-whom but blood-tinged both and slimy perish
Αἱ δὲ ξὺν πυρετῷ γιγνόμεναι ὀδύναι περὶ τὴν ὀσφῦν 19
The and with fever arising pains about the loin
τε καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται, τὰ
both and the lower places if the diaphragm they-attack the
κάτω ἐκλείπουσαι, ὀλέθριαι κάρτα. Προσέχειν οὖν δεῖ
lower leaving deadly very To-apply then one-must
τὸν νόον τοῖσιν ἄλλοισι σημείοισιν, ὡς ἤν τι καὶ
the mind to-the other signs as if anything also
τῶν ἄλλων σημείων ἐπιφαίνηται πονηρὸν, ἀνέλπιστος ὁ
of-the other signs appears bad hopeless the
ἄνθρωπος· ἢν δὲ, ἀναΐσσοντος τοῦ νουσήματος ὡς πρὸς
man if but rushing-up the disease as toward
τὰς φρένας, τἆλλα σημεῖα μὴ πονηρὰ ἐπιγίγνηται, ἔμπυον
the diaphragm the-other signs not bad supervene suppurating
ἔσεσθαι τοῦτον πολλαὶ ἐλπίδες. Κύστιες δὲ σκληραί
to-be this-one many hopes Bladders and hard
τε καὶ ἐπώδυνοι δειναὶ μὲν παντελῶς καὶ ὀλέθριαι·
both and painful terrible indeed altogether and deadly
ὀλεθριώτεραι δὲ ὁκόσαι ξὺν πυρετῷ ξυνεχεῖ γίγνονται· καὶ
more-deadly and as-many-as with fever continuous come-about and
γὰρ οἱ ἀπ᾽ αὐτέων τῶν κύστιων πόνοι ἱκανοὶ ἀποκτεῖναι·
for the from the-very the bladders pains sufficient to-kill
καὶ αἱ κοιλίαι οὐ διαχωρέουσιν ἐν τουτέῳ τῷ χρόνῳ, εἰ
and the bellies not pass in this the time if

μὴ σκληρά τε καὶ πρὸς ἀνάγκην· λύει δέ οὖρον πυῶδες
not hard both and under compulsion resolves but urine purulent
οὐρηθὲν, λευκὴν καὶ λείην ἔχον τὴν ὑπόστασιν. Ἢν δὲ
urinated white and smooth having the sediment If but
μήτε τὸ οὖρον μηδὲν ἐνδιδοίη, μήτε ἡ κύστις μαλάσσοιτο,
neither the urine anything gives-way nor the bladder softens
ὅ τε πυρετὸς ξυνεχὴς ᾖ, ἐν τῇσι πρώτῃσι περιόδοισι
the and fever continuous be in the first periods
τοῦ νουσήματος ἐλπὶς τὸν ἀλγέοντα ἀπολέσθαι. Ὁ
of-the disease expectation the sufferer to-perish The
δὲ τρόπος οὗτος ἅπτεται τῶν παιδίων μάλιστα τῶν
and manner this attacks the children most those
ἑπταετέων, ἕως ἂν ἐς τὰ πεντεκαίδεκα ἔτεα γένωνται.
seven-years-old until — to the fifteen years they-come

IV · CRISES, CHILDREN, AND THE SIGNS

Fevers reach crisis on the same days, whether they kill or spare: the fourth, seventh, eleventh, fourteenth, seventeenth, and twentieth, and the longer at thirty-four, forty, or sixty. Headache with fever, ear pain, and convulsions in children have their own signs; quinsy is worst when nothing shows in the throat. A long fever without a crisis foretells a relapse or an abscession into the joints. The physician must learn the signs and weigh them against one another, for they hold in Libya, Delos, and Scythia alike.

20 Οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτέῃσιν ἡμέρῃσι τὸν
The and fevers reach-crisis in the same days the
ἀριθμὸν, ἐξ ὧν τε περιγίγνονται οἱ ἄνθρωποι καὶ ἐξ
number from which both survive the men and from
ὧν ἀπόλλυνται. Οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν
which they-perish The both for mildest of-the fevers

καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι
and on signs safest standing on-the-fourth
παύονται, ἢ πρόσθεν· οἵ τε κακοηθέστατοι καὶ ἐπὶ σημείων
cease or earlier the both most-malignant and on signs
δεινοτάτων γιγνόμενοι τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν.
most-terrible arising on-the-fourth kill or earlier
Ἡ μὲν οὖν πρώτη ἔφοδος αὐτέων οὕτω τελευτᾷ· ἡ
The indeed then first attack of-them so ends the
δὲ δευτέρη ἐς τὴν ἑβδόμην περιάγεται· ἡ δὲ τρίτη ἐς
and second to the seventh is-carried-round the and third to
τὴν ἑνδεκάτην· ἡ δὲ τετάρτη ἐς τὴν τεσσαρεσκαιδεκάτην·
the eleventh the and fourth to the fourteenth
ἡ δὲ πέμπτη ἐς τὴν ἑπτακαιδεκάτην· ἡ δὲ ἕκτη
the and fifth to the seventeenth the and sixth
ἐς τὴν εἰκοστήν. Αὗται μὲν οὖν ἐκ τῶν ὀξυτάτων
to the twentieth These indeed then from the most-acute
νουσημάτων διὰ τεσσάρων ἐς τὰς εἴκοσιν ἐκ προσθέσιος
diseases through fours to the twenty by addition
τελευτῶσιν. Οὐ δύναται δὲ ὅλῃσιν ἡμέρῃσιν οὐδὲν τουτέων
end Not it-is-possible and by-whole days any of-these
ἀριθμέεσθαι ἀτρεκέως· οὐδὲ γὰρ ὁ ἐνιαυτός τε καὶ οἱ
to-be-counted exactly nor for the year both and the
μῆνες ὅλῃσιν ἡμέρῃσι πεφύκασιν ἀριθμέεσθαι. Μετὰ δὲ
months by-whole days are-of-a-nature to-be-counted After and
ταῦτα ἐν τῷ αὐτέῳ τρόπῳ κατὰ τὴν αὐτέην πρόσθεσιν
these-things in the same manner by the same addition
ἡ πρώτη περίοδος τεσσάρων καὶ τριήκονθ' ἡμερέων, ἡ
the first period of-four and thirty days the
δὲ δευτέρη τεσσαράκοντα ἡμερέων, ἡ δὲ τρίτη ἑξήκονθ'
and second forty days the and third sixty
ἡμερέων.
days

Τουτέων δ' ἐν ἀρχῇσίν ἐστι χαλεπώτατον διαγιγνώσκειν
Of-these and in beginnings is hardest to-discern
τὰ μέλλοντα ἐν πλείστῳ χρόνῳ κρίνεσθαι· ὁμοιόταται
the-ones going in most time to-reach-crisis most-alike
γὰρ αἱ ἀρχαί εἰσιν αὐτέων· ἀλλὰ χρὴ ἀπὸ
for the beginnings are of-them but one-must from
τῆς πρώτης ἡμέρης ἐνθυμέεσθαι, καὶ καθ' ἑκάστην
the first day to-consider and at each
τετράδα προστιθεμένην σκέπτεσθαι· καὶ οὐ λήσεται
tetrad added to-examine and not it-will-escape
ὅπη τρέψεται τὸ νούσημα. Γίγνεται δὲ ἡ τῶν
where will-turn the disease Comes-about and the of-the
τεταρταίων κατάστασις ἐκ τοῦ τοιούτου κόσμου. Τὰ
quartans constitution from the such order The
δὲ ἐν ἐλαχίστῳ χρόνῳ μέλλοντα κρίνεσθαι, εὐπετέστερα
and in least time going to-reach-crisis easier
γιγνώσκεσθαι· μέγιστα γὰρ τὰ διαφέροντα ἀπ' ἀρχῆς
to-be-recognized greatest for the differences from beginning
αὐτέων ἐστίν· οἱ μὲν γὰρ περιεσόμενοι εὔπνοοί τε
of-them are those indeed for going-to-survive good-breathing both
καὶ ἀνώδυνοί εἰσι, καὶ κοιμῶνται τὰς νύκτας, τά τε
and painless are and sleep the nights the both
ἄλλα σημεῖα ἔχουσιν ἀσφαλέστατα· οἱ δὲ ἀπολούμενοι
other signs have safest those but going-to-perish
δύσπνοοι γίγνονται, ἀλλοφάσσοντες, ἀγρυπνέοντες, τά
short-of-breath become wandering-in-speech sleepless the
τε ἄλλα σημεῖα κάκιστα ἔχοντες. Ὡς οὖν τουτέων
both other signs worst having As then these
οὕτω γιγνομένων ξυμβάλλεσθαι χρὴ, κατά τε τὸν
so coming-about to-conclude one-must according-to both the
χρόνον, κατά τε τὴν πρόσθεσιν ἑκάστην ἐπὶ τὴν
time according-to and the addition each to the

κρίσιν ἰόντων τῶν νουσημάτων. Κατὰ δὲ τὸν αὐτὸν
crisis going the diseases According-to and the same
λόγον καὶ τῇσι γυναιξὶν αἱ κρίσιες ἐκ τῶν τόκων
reasoning also for-the women the crises from the childbirths
γίγνονται.
come-about

Κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε καὶ ξυνεχέες ξὺν πυρετῷ· 21
Of-head and pains strong both and continuous with fever
ἢν μέν τι τῶν θανατωδέων σημείων προσγίγνοιτο,
if indeed any of-the deadly signs is-added
ὀλέθριον κάρτα. Εἰ δὲ ἄτερ τῶν τοιούτων σημείων
deadly very If but without the such signs
ἡ ὀδύνη ὑπερβάλλοι εἴκοσιν ἡμέρας, ὅ τε πυρετὸς
the pain should-exceed twenty days the and fever
ἔχοι, ὑποσκέπτεσθαι χρὴ αἵματος ῥῆξιν διὰ
should-hold to-watch-for one-must of-blood bursting through
ῥινῶν, ἢ ἄλλην τινὰ ἀπόστασιν ἐς τὰ κάτω χωρία·
nostrils or other some abscession to the lower places
ἔστ' ἂν δὲ ἡ ὀδύνη ᾖ νεαρὰ, προσδέχεσθαι χρὴ
as-long-as — but the pain be recent to-expect one-must
ὡσαύτως αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἐκπύησιν,
likewise of-blood bursting through nostrils or suppuration
ἄλλως τε ἢν ἡ ὀδύνη περὶ τοὺς κροτάφους καὶ
especially — if the pain about the temples and
τὸ μέτωπον ᾖ· μᾶλλον δὲ χρὴ προσδέχεσθαι
the forehead be more and one-must to-expect
τοῦ μὲν αἵματος τὴν ῥῆξιν τοῖσι νεωτέροισι πέντε
the indeed of-blood the bursting in-the younger than-five
καὶ τριήκοντα ἐτέων, τοῖσι δὲ γεραιτέροισι τὴν
and thirty years in-the and older the
ἐκπύησιν.
suppuration

22 Ὠτὸς δὲ ὀξείη ὀδύνη ξὺν πυρετῷ ξυνεχεῖ τε καὶ
Of-ear and acute pain with fever continuous both and
ἰσχυρῷ δεινόν· κίνδυνος γὰρ παραφρονῆσαι τὸν ἄνθρωπον
strong terrible danger for to-become-deranged the man
καὶ ἀπολέσθαι. Ὡς οὖν τουτέου τοῦ τόπου σφαλεροῦ
and to-perish As then this the place dangerous
ἐόντος, ταχέως δεῖ προσέχειν τὸν νόον τοῖσι σημείοισι
being quickly one-must to-apply the mind to-the signs
πᾶσιν ἀπὸ τῆς πρώτης ἡμέρης. Ἀπόλλυνται δὲ οἱ
all from the first day Perish and the
μὲν νεώτεροι τῶν ἀνθρώπων ἑβδομαῖοι καὶ ἔτι θᾶσσον
indeed younger of-the men on-the-seventh and still sooner
ὑπὸ τουτέου τοῦ νουσήματος· οἱ δὲ γέροντες πολλῷ
by this the disease the but old much
βραδύτερον· οἵ τε γὰρ πυρετοὶ καὶ αἱ παραφροσύναι
more-slowly the both for fevers and the derangements
ἧσσον αὐτέοισιν ἐπιγίγνονται, καὶ τὰ ὦτα διὰ
less in-them supervene and the ears because-of
τοῦτο φθάνει ἐκπυΐσκεσθαι· ἀλλὰ ταύτῃσι μὲν τῇσιν
this get-ahead to-suppurate but in-these indeed the
ἡλικίῃσιν ὑποστροφαὶ τοῦ νουσήματος ἐπιγιγνόμεναι
ages relapses of-the disease supervening
ἀποκτείνουσι τοὺς πλείστους. Οἱ δὲ νεώτεροι, πρὶν
kill the most The and younger before
ἐκπυῆσαι τὸ οὖς, ἀπόλλυνται· πλὴν ἀλλ' ἤν γε
to-suppurate the ear perish except but if at-least
ῥυῇ πῦον λευκὸν ἐκ τοῦ ὠτὸς, ἐλπὶς τῷ νεωτέρῳ
flows pus white from the ear hope for-the younger
περιγενέσθαι, ἤν γε καὶ ἄλλο τι αὐτέῳ ἐπιγένηται
to-survive if at-least also other some to-him supervenes
χρηστὸν σημεῖον.
good sign

Φάρυγξ δὲ ἑλκουμένη ξὺν πυρετῷ δεινόν· ἀλλ᾽ ἤν τι καὶ 23
Throat and ulcerated with fever terrible but if any also
ἄλλο σημεῖον γένηται τῶν προκεκριμένων πονηρῶν εἶναι,
other sign comes-about of-the previously-judged bad to-be
προλέγειν δεῖ ὡς ἐν κινδύνῳ ἐόντος τοῦ ἀνθρώπου. Αἱ
to-foretell one-must as in danger being the man The
δὲ κυνάγχαι δεινόταται μέν εἰσι, καὶ τάχιστα ἀναιρέουσιν,
and quinsies most-terrible indeed are and most-quickly kill
ὁκόσαι μήτε ἐν τῇ φάρυγγι μηδὲν ἔκδηλον ποιέουσι,
as-many-as neither in the throat anything visible make
μήτε ἐν τῷ αὐχένι, πλεῖστον δὲ πόνον παρέχουσι καὶ
nor in the neck most but pain cause and
ὀρθόπνοιαν· αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσι, καὶ
orthopnea these for even the-same-day choke and
δευτεραῖαι, καὶ τριταῖαι, καὶ τεταρταῖαι. Ὅσαι δὲ τὰ
on-the-second and on-the-third and on-the-fourth As-many-as and the
μὲν ἄλλα παραπλησίως πόνον παρέχουσιν, ἐπαίρονται
indeed other-things alike pain cause swell
δὲ, καὶ ἐρυθήματα ἐν τῇ φάρυγγι ποιέουσιν, ὀλέθριαι
but and rednesses in the throat make deadly
μὲν κάρτα, χρονιώτεραι δὲ μᾶλλον τῶν πρόσθεν, ἢν
indeed very more-chronic but more than-the former if
τὸ ἐρύθημα μέγα γίγνηται. Ὁκόσοισι δὲ ξυνεξερευθείη
the redness great becomes For-whomever and is-reddened-together
ἡ φάρυγξ καὶ ὁ αὐχὴν, αὗται δὴ χρονιώτεραι, καὶ
the throat and the neck these indeed more-chronic and
μάλιστα ἐξ αὐτέων τινὲς περιφεύγουσιν, ἢν ὅ τε αὐχὴν
most from them some escape if the both neck
καὶ τὸ στῆθος ἐρύθημα ἔχῃ, καὶ μὴ παλινδρομέῃ τὸ
and the chest redness has and not runs-back the
ἐρυσίπελας ἔσω. Ἢν δὲ μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν
erysipelas inward If but neither in days critical

ἀφανίζηται τὸ ἐρυσίπελας, μήτε φύματος ξυστραφέντος ἐν
disappears the erysipelas nor growth having-gathered in
τῷ ἔξω χωρίῳ, μήτε πῦον ἀποβήσσῃ, ῥηϊδίως τε καὶ
the outer place nor pus he-coughs-up easily both and
ἀπόνως ἔχειν δοκέῃ, θάνατον σημαίνει, ἢ ὑποστροφὴν τοῦ
painlessly to-be he-seems death it-signifies or relapse of-the
ἐρυθήματος.
redness
Ἀσφαλέστερον δὲ τὸ οἴδημα καὶ τὸ ἐρύθημα ὡς μάλιστα
Safer and the swelling and the redness as most
ἔξω τρέπεσθαι· ἢν δὲ ἐς τὸν πλεύμονα τραπείη,
outward to-turn if but to the lung it-should-turn
παράνοιάν τε ποιέει, καὶ ἔμπυοι ἐξ αὐτέων τινὲς ὡς
derangement both it-makes and suppurating from them some for
τὰ πολλὰ γίγνονται. Οἱ δὲ γαργαρεῶνες ἐπικίνδυνοι
the most-part become The and uvulas dangerous
καὶ ἀποτάμνεσθαι καὶ ἀποσχάζεσθαι, ἔστ' ἂν ἐρυθροί
both to-be-cut-off and to-be-lanced as-long-as — red
τε ἔωσι καὶ μεγάλοι· καὶ γὰρ φλεγμοναὶ ἐπιγίγνονται
both they-are and large and for inflammations supervene
τουτέοισι καὶ αἱμορῥαγίαι· ἀλλὰ χρὴ τὰ τοιαῦτα τοῖσιν
on-these and hemorrhages but one-must the such with-the
ἄλλοισι μηχανήμασι πειρῆσθαι κατισχναίνειν ἐν τουτέῳ
other devices to-try to-reduce in this
τῷ χρόνῳ. Ὁκόταν δὲ ἀποκριθῇ πᾶν, ὃ δὴ σταφυλὴν
the time When but is-separated all which indeed grape
καλέουσι, καὶ γένηται τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος
they-call and becomes the indeed tip of-the uvula
μεῖζόν τε καὶ περιφερὲς, τὸ δὲ ἀνωτέρω λεπτότερον,
larger both and round the but higher thinner
ἐν τουτέῳ τῷ καιρῷ ἀσφαλὲς διαχειρίζειν. Ἄμεινον δὲ
in this the moment safe to-operate Better and

καὶ τὴν κοιλίην ὑποκενώσαντα τῇ χειρουργίῃ χρέεσθαι,
also the belly having-emptied with-the surgery to-use
ἢν ὅ τε χρόνος ξυγχωρέῃ, καὶ μὴ ἀποπνίγηται ὁ
if the both time allows and not is-choked the
ἄνθρωπος.
man
Ὁκόσοισι δ' ἂν οἱ πυρετοὶ παύωνται, μήτε σημείων 24
For-whomever and — the fevers cease neither of-signs
γενομένων λυτηρίων, μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν,
having-come-about resolving nor in days critical
ὑποστροφὴν προσδέχεσθαι χρὴ τουτέοισιν. Ὅστις δ'
relapse to-expect one-must for-these Whichever and
ἂν τῶν πυρετῶν μηκύνῃ περιεστικῶς διακειμένου τοῦ
— of-the fevers is-prolonged favorably disposed the
ἀνθρώπου, μηκέτι ὀδύνης ἐχούσης διὰ φλεγμονήν
man no-longer pain holding because-of inflammation
τινα, μήτε διὰ πρόφασιν ἄλλην μηδεμίην ἐμφανέα,
some nor because-of cause other any manifest
τουτέῳ προσδέχεσθαι ἀπόστασιν μετ' οἰδήματός τε καὶ
for-this-one to-expect abscession with swelling both and
ὀδύνης ἔς τι τῶν ἄρθρων, καὶ οὐχ ἧσσον ἐκ τῶν
pain into some of-the joints and not less from the
κάτω. Μᾶλλον δὲ γίγνονται καὶ ἐν ἐλάσσονι χρόνῳ
lower More and come-about and in less time
αἱ τοιαῦται ἀποστάσιες τοῖσι νεωτέροισι τριήκοντα
the such abscessions in-the younger than-thirty
ἐτέων· ὑποσκέπτεσθαι δὲ χρὴ εὐθέως τὰ περὶ
years to-watch-for and one-must at-once the-things about
τῆς ἀποστάσιος, ἢν εἴκοσιν ἡμέρας ὁ πυρετὸς ἔχων
the abscession if twenty days the fever holding
ὑπερβάλλῃ· τοῖσι δὲ γεραιτέροισιν ἧσσον γίγνεται,
exceeds in-the and older less it-comes-about

πολυχρονιωτέρου ἐόντος τοῦ πυρετοῦ. Χρὴ δὲ τὴν μὲν
longer being the fever One-must and the indeed
τοιαύτην ἀπόστασιν προσδέχεσθαι, ξυνεχέος ἐόντος τοῦ
such abscession to-expect continuous being the
πυρετοῦ, ἐς δὲ τεταρταῖον καταστήσεσθαι, ἢν διαλείπῃ
fever into and quartan to-settle if it-intermits
τε καὶ καταλαμβάνῃ πεπλανημένον τρόπον, καὶ ταῦτα
both and seizes in-wandering manner and these-things
ποιέων τῷ φθινοπώρῳ προσπελάσῃ. Ὥσπερ δὲ τοῖσι
doing to-the autumn it-approaches As and in-the
νεωτέροισι τῶν τριήκοντα ἐτέων αἱ ἀποστάσιες γίγνονται,
younger than-the thirty years the abscessions come-about
οὕτως οἱ τεταρταῖοι μᾶλλον τοῖσι τριήκοντα ἐτέων καὶ
so the quartans more in-the thirty years and
γεραιτέροισιν.
older
Τὰς δὲ ἀποστάσιας εἰδέναι χρὴ τοῦ χειμῶνος
The and abscessions to-know one-must in-the winter
μᾶλλον γιγνομένας χρονιώτερόν τε παυομένας, ἧσσον δὲ
more occurring more-slowly both ceasing less but
παλινδρομεύσας. Ὅστις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει
running-back Whoever and — in fever not deadly
φῇ τὴν κεφαλὴν ἀλγέειν, ἢ καὶ ὀρφνώδές τι
says the head to-ache or also dark something
πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἢ καρδιωγμὸς τουτέῳ
before the eyes to-appear or heartburn to-this-one
προσγένηται, χολώδης ἔμετος παρέσται· ἢν δὲ καὶ
is-added bilious vomiting will-be-present if and also
ῥῖγος ἐπιλάβῃ, καὶ τὰ κάτω μέρεα τοῦ ὑποχονδρίου
chill seizes and the lower parts of-the hypochondrium
ψυχρὰ ᾖ, καὶ θᾶσσον ἔτι ὁ ἔμετος παρέσται· ἢν
cold be and sooner still the vomiting will-be-present if

δέ τι πίῃ ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον,
and anything be-drinks or eats at this the time
κάρτα τοῦτο ταχέως ἐμέεται. Τουτέων δὲ οἷσιν ἂν
very this quickly is-vomited Of-these and for-whom —
ἄρξηται ὁ πόνος τῇ πρώτῃ ἡμέρῃ γίγνεσθαι, τεταρταῖοι
begins the pain on-the first day to-come-about on-the-fourth
πιεζεῦνται μάλιστα καὶ πεμπταῖοι· ἐς δὲ τὴν ἑβδόμην
are-pressed most and on-the-fifth on and the seventh
ἀπαλλάσσονται· οἱ μέντοι πλείονες αὐτέων ἄρχονται μὲν
are-freed the however more of-them begin indeed
πονέεσθαι τριταῖοι, χειμάζονται δὲ μάλιστα πεμπταῖοι,
to-suffer on-the-third are-storm-tossed and most on-the-fifth
ἀπαλλάσσονται δὲ ἐναταῖοι ἢ ἑνδεκαταῖοι· οἳ δ' ἂν
are-freed and on-the-ninth or on-the-eleventh those but —
could-write the and at-least however stronger testimony not for
ἠδελφισμένον ἐστὶ τῷ πρήγματι, περὶ οὗ μοι ὁ πλεῖστος
akin is to-the matter about which by-me the most
λόγος εἴρηται, ἀλλ' αὐτὸ τὸ πρῆγμα ἐπικαιρότατόν ἐστι
argument has-been-said but itself the matter most-opportune is
διδακτήριον· οἱ γὰρ ἀρχόμενοι τῶν ὀξέων νουσημάτων
lesson those for beginning of-the acute diseases
ἔστιν ὅτε οἱ μὲν σιτία ἔφαγον αὐθημερὸν ἠργμένοι ἤδη,
it-is when the-ones indeed foods ate the-same-day having-begun already
οἱ δὲ καὶ τῇ ὑστεραίῃ, οἱ δὲ καὶ ἐῤῥόφεον τὸ
the-others and also on-the next-day the-others and also sipped the
προστυχὸν, οἱ δὲ καὶ κυκεῶνα ἐῤῥόφεον· ἅπαντα δὲ
chance-thing the-others and also kykeon sipped all and
ταῦτα κακίω μέν ἐστιν ἢ εἰ ἑτεροίως τις διαιτηθείη·
these-things worse indeed are than if otherwise anyone should-be-dieted
πολλῷ μέντοι ἐλάσσω βλάβην φέρει ἐν τουτέῳ τῷ χρόνῳ
much however less harm bring in this the time
ἁμαρτηθέντα, ἢ εἴ τις τὰς μὲν πρώτας ἡμέρας δύο
erred than if anyone the indeed first days two
ἢ τρεῖς κενεαγγήσειε τελείως, τεταρταῖος δὲ ἐὼν τοιάδε
or three should-fast completely on-the-fourth and being so
διαιτηθείη, ἢ καὶ πεμπταῖος· ἔτι μέντοι κάκιον, εἰ ταύτας
should-be-dieted or also on-the-fifth still however worse if these
πάσας τὰς ἡμέρας προκενεαγγήσας, ἐν τῇσιν ὕστερον
all the days having-fasted-before in the later
ἡμέρῃσιν οὕτω διαιτηθείη, πρὶν ἢ πέπειρον γενέσθαι
days so he-should-be-dieted before than ripe to-become
τὴν νοῦσον· οὕτω μὲν γὰρ θάνατον φέρει φανερῶς τοῖσι
the disease so indeed for death it-brings manifestly to-the
πλείστοισιν, εἰ μὴ παντάπασιν εὐήθης ἡ νοῦσος εἴη.
most if not altogether mild the disease be

Αἱ δὲ κατ᾽ ἀρχὰς ἁμαρτάδες οὐχ ὁμοίως ταύτῃσιν
The and at beginnings errors not alike to-these
ἀνήκεστοί εἰσιν, ἀλλὰ πολλῷ εὐακεστότεραι. Τοῦτο οὖν
incurable are but by-much more-curable This then
ἡγεῦμαι μέγιστον διδακτήριον, ὅτι οὐ στερητέαι αἱ
I-consider greatest lesson that not to-be-deprived the
πρῶται ἡμέραι τοῦ ῥοφήματος ἢ τοίου ἢ τοίου τοῖσι
first days of-the gruel or of-this or of-that for-those
μέλλουσιν ὀλίγον ὕστερον ῥοφήμασιν ἢ τοίοισιν ἢ τοίοισι
about a-little later gruels or this-sort or that-sort
χρέεσθαι. Πυθμενόθεν μὲν οὖν οὐκ ἴσασιν οὔθ᾽ οἱ τῇσι
to-use From-the-root indeed then not know neither those-who the
κριθώδεσι πτισάνῃσι χρεόμενοι, ὅτι αὐτέῃσι κακοῦνται,
full-of-barley barley-gruels using that by-them they-are-harmed
ὁκόταν ῥοφέειν ἄρξωνται, ἢν προκενεαγγήσωσι δύο ἢ τρεῖς
whenever to-sip they-begin if they-fast-before two or three
ἡμέρας ἢ πλείους, οὔτ᾽ αὖ οἱ τῷ χυλῷ χρεόμενοι
days or more nor again those-who the juice using
γιγνώσκουσιν ὅτι αὐτέῃσι βλάπτονται ῥοφέοντες, ὅταν
know that by-them they-are-harmed sipping when
μὴ ὀρθῶς ἄρξωνται τοῦ ῥοφήματος. Τόδε γε μὴν καὶ
not rightly they-begin the gruel This at-least however both
φυλάσσουσι καὶ γιγνώσκουσιν, ὅτι μεγάλην τὴν βλάβην
they-guard-against and know that great the harm
φέρει, ἢν, πρὶν πέπειρον τὴν νοῦσον γενέσθαι, κριθώδεα
it-brings if before ripe the disease to-become full-of-barley
πτισάνην ῥοφήσῃ ὁ κάμνων, εἰθισμένος χυλῷ χρέεσθαι.
barley-gruel sips the sick-man accustomed juice to-use
Πάντα οὖν ταῦτα μεγάλα μαρτύρια, ὅτι οὐκ ὀρθῶς ἄγουσιν
All then these great proofs that not rightly they-lead
ἐς τὰ διαιτήματα οἱ ἰητροὶ τοὺς κάμνοντας· ἀλλ᾽ ἐν ᾗσί
into the regimens the physicians the sick but in which

τε νούσοισιν οὐ χρὴ κενεαγγέειν τοὺς μέλλοντας ῥοφήμασι
both diseases not must to-fast those about on-gruels
διαιτᾶσθαι, κενεαγγέουσιν· ἐν ᾗσί τε οὐ χρὴ μεταβάλλειν
to-be-dieted they-fast in which and not must to-change
ἐκ κενεαγγείης ἐς ῥοφήματα, ἐν ταύτῃσι μεταβάλλουσι·
from fasting to gruels in these they-change
καὶ ὡς ἐπιτοπολὺ ἀκαρτὶ ἐν τοῖσι τοιούτοισι καιροῖσι
and as for-the-most-part precisely in the such moments
μεταβάλλουσιν ἐς τὰ ῥοφήματα ἐκ τῆς κενεαγγείης, ἐν
they-change to the gruels from the fasting in
οἷσι πολλάκις ἀρήγει ἐκ τῶν ῥοφημάτων πλησιάζειν τῇ
which often it-helps from the gruels to-draw-near to-the
κενεαγγείῃ, ἢν οὕτω τύχῃ παροξυνομένη ἡ νοῦσος.
fasting if so it-happens being-exacerbated the disease
Ἐνίοτε δὲ καὶ ὠμὰ ἐπισπῶνται ἀπὸ τῆς κεφαλῆς
Sometimes and also raw-things they-draw-in from the head
καὶ τοῦ περὶ τὸν θώρηκα τόπου χολώδεα· ἀγρυπνίαι
and the about the chest region bilious sleeplessnesses
τε ξυνεμπίπτουσιν αὐτέοισι, δι᾽ ἃς οὐ πέσσεται
and fall-in-together with-them because-of which not is-concocted
ἡ νοῦσος, περίλυποί τε καὶ πικροὶ γίγνονται, καὶ
the disease very-distressed both and bitter they-become and
παραφρονέουσι, καὶ μαρμαρυγώδεα σφέων τὰ ὄμματα, καὶ
are-delirious and flashing their the eyes and
αἱ ἀκοαὶ ἤχου μεσταὶ, καὶ τὰ ἀκρωτήρια κατεψυγμένα,
the ears of-ringing full and the extremities chilled
καὶ οὖρα ἄπεπτα, καὶ πτύσματα λεπτὰ καὶ ἁλυκὰ καὶ
and urines unconcocted and sputa thin and salty and
κεχρωσμένα ἀκρήτῳ χρώματι σμικρὰ, καὶ ἱδρῶτες περὶ
tinged with-unmixed color slight and sweats about
τὸν τράχηλον, καὶ διαπορήματα, καὶ πνεῦμα προσπταῖον
the neck and anxieties and breath stumbling

ἐν τῇ ἄνω φορῇ πυκνὸν ἢ μέγα λίην, ὀφρύες δεινώσιος
in the upward carriage frequent or large too eyebrows of-a-fierce-look
μετέχουσαι, λειποψυχώδεα πονηρὰ, καὶ τῶν ἱματίων
partaking faintings bad and of-the clothes
ἀπορῥίψιες ἀπὸ τοῦ στήθεος, καὶ χεῖρες τρομώδεες, ἐνίοτε
throwings-off from the chest and hands trembling sometimes
δὲ καὶ χεῖλος τὸ κάτω σείεται. Ταῦτα δὲ ἐν ἀρχῇσιν
and also lip the lower is-shaken These and in beginnings
ἐπιφαινόμενα παραφροσύνης δηλωτικά ἐστι σφοδρῆς, καὶ
appearing of-delirium indicative are violent and
ὡς ἐπιτοπολὺ ἀποθνήσκουσιν· οἱ δὲ διαφεύγοντες, ἢ
as for-the-most-part they-die those and escaping either
μετὰ ἀποστήματος, ἢ αἵματος ῥύσιος ἐκ τῆς ῥινὸς, ἢ
with abscess or of-blood flow from the nose or
πῦον παχὺ πτύσαντες διαφεύγουσιν, ἄλλως δὲ οὔ.
pus thick having-spat escape otherwise and not
Οὐδὲ γὰρ τῶν τοιουτέων ὁρέω ἐμπείρους τοὺς ἰητροὺς, ὡς
Not-even for of-the such-things I-see experienced the physicians how
χρὴ διαγιγνώσκειν τὰς ἀσθενείας ἐν τῇσι νούσοισιν, αἵ τε
must to-distinguish the weaknesses in the diseases which both
διὰ κενεαγγείην ἀσθενεῦνται, αἵ τε δι᾽ ἄλλον τινὰ
because-of fasting are-weakened which and because-of other some
ἐρεθισμὸν, αἵ τε διὰ πόνον καὶ ὑπὸ ὀξύτητος τῆς νούσου,
irritation which and because-of pain and by sharpness of-the disease
ὁκόσα τε ἡμέων ἡ φύσις καὶ ἡ ἕξις ἑκάστοισιν ἐκτεκνοῖ
how-many and of-us the nature and the constitution for-each brings-forth
πάθεα καὶ εἴδεα παντοῖα· καίτοι σωτηρίην ἢ θάνατον φέρει
affections and forms of-every-kind and-yet safety or death bring
γιγνωσκόμενα ἢ ἀγνοούμενα τὰ τοιαῦτα. Μέζον μὲν γὰρ
being-known or being-unknown the such-things Greater indeed for
κακόν ἐστιν, ἢν διὰ τὸν πόνον καὶ τὴν ὀξύτητα τῆς
evil it-is if because-of the pain and the sharpness of-the

νούσου ἀσθενέοντι προσφέρῃ τις ποτὸν ἢ ῥόφημα πλεῖον ἢ
disease to-one-weak administers someone drink or gruel more or
σιτίον, οἰόμενος διὰ κενεαγγείην ἀσθενέειν. Ἀεικὲς δὲ καὶ
food thinking because-of fasting him-to-be-weak Unseemly and also
διὰ κενεαγγείην ἀσθενέοντα μὴ γνῶναι καὶ πιέζειν τῇ
because-of fasting one-weak not to-recognize and to-press-hard with-the
διαίτῃ· φέρει μὲν γάρ τινα κίνδυνον καὶ αὕτη ἡ ἁμαρτὰς,
regimen it-brings indeed for some danger also this the error
πολλῷ δὲ ἧσσονα τῆς ἑτέρης· καταγελαστοτέρη δὲ πολλῷ
by-much but less than-the other more-ridiculous but by-much
αὕτη μᾶλλον ἡ ἁμαρτὰς τῆς ἑτέρης· εἰ γὰρ ἄλλος
this rather the error than-the other if for another
ἰητρὸς ἢ καὶ ἰδιώτης ἐσελθὼν, καὶ γνοὺς τὰ ξυμβεβηκότα,
physician or even layman coming-in and recognizing the things-happened
δῴη καὶ φαγεῖν καὶ πιεῖν, ἃ ὁ ἕτερος ἐκώλυεν,
should-give both to-eat and to-drink what the other forbade
ἐπιδήλως ἂν δοκοίη ὠφεληκέναι. Τὰ δὲ τοιαῦτα μάλιστα
manifestly — he-would-seem to-have-helped The and such-things most
καθυβρίζεται τῶν χειρωνακτέων ὑπὸ τῶν ἀνθρώπων· δοκέει
are-mocked of-the craftsmen by the people it-seems
γὰρ αὐτέοισιν ὁ ἐσελθὼν ἰητρὸς ἢ ἰδιώτης ὡσπερεὶ
for to-them the having-come-in physician or layman as-if
τεθνεῶτα ἀναστῆσαι. Γεγράψεται οὖν καὶ περὶ τουτέου
a-dead-man to-have-raised It-shall-be-written then also about this
σημήϊα οἷσι δεῖ ἕκαστα τουτέων διαγιγνώσκειν.
signs by-which one-must each of-these to-distinguish

12 Παραπλήσια μέντοι τοῖσι κατὰ κοιλίην ἐστὶ καὶ
Similar however to-the-things in-respect-of belly are also
ταῦτα· καὶ γὰρ ἢν ὅλον τὸ σῶμα ἀναπαύσηται πουλὺ παρὰ
these and for if whole the body rests much against
τὸ ἔθος, οὐκ αὐτίκα ἐῤῥώται μᾶλλον· ἢν δὲ δὴ καὶ πλείω
the custom not at-once is-stronger more if and indeed also longer

χρόνον διελινύσαν ἐξαπίνης ἐς τοὺς πόνους ἔλθῃ, φλαῦρόν
time having-been-idle suddenly to the labors it-come bad
τι πρήξειεν ἐπιδήλως. Οὕτω δὲ καὶ ἓν ἕκαστον τοῦ
something it-would-fare manifestly So and also one each of-the
σώματος· καὶ γὰρ οἱ πόδες τοιόνδε τι πρήξειαν, καὶ τὰ
body and for the feet such something would-fare and the
ἄλλα ἄρθρα μὴ εἰθισμένα πονέειν, ἢν διὰ χρόνου ἐξαπίνης
other joints not accustomed to-labor if after time suddenly
πρὸς τὸ πονέειν ἔλθῃ. Ταῦτα δ' ἂν καὶ οἱ ὀδόντες καὶ οἱ
to the laboring they-come These and — also the teeth and the
ὀφθαλμοὶ πάθοιεν, καὶ πᾶν ὁτιοῦν. Ἐπεὶ καὶ κοίτη παρὰ τὸ
eyes would-suffer and every whatever Since even a-bed against the
ἔθος μαλθακὴ πόνον ἐμποιέει, καὶ σκληρὴ παρὰ τὸ ἔθος, καὶ
custom soft pain produces and hard against the custom and
ὕπαιθρος εὐνὴ παρὰ τὸ ἔθος σκληρύνει τὸ σῶμα. Ἀτὰρ καὶ
open-air sleeping against the custom hardens the body But also
τὰ τῶν τοιῶνδε πάντων ἀρκέει παραδείγματα γράψαι. Εἰ
the of-the such all it-suffices examples to-write If
γάρ τις ἕλκος λαβὼν ἐν κνήμῃ μήτε λίην ἐπίκαιρον μήτε
for someone a-wound having-got on shin neither too serious nor
λίην εὔηθες, μήτε ἄγαν εὐελκὴς ἐὼν, μήτε ἄγαν δυσελκὴς,
too slight neither very quick-healing being nor very slow-healing
αὐτίκα ἀρξάμενος ἐκ πρώτης κατακείμενος ἰητρεύοιτο, καὶ
at-once beginning from first lying-down should-be-treated and
μηδαμῆ μετεωρίζοι τὸ σκέλος, ἀφλέγμαντος μὲν ἂν οὕτως
nowhere should-raise the leg uninflamed indeed — thus
εἴη μᾶλλον, καὶ ὑγιὴς πολλῷ θᾶσσον ἂν γένοιτο, ἢ εἰ
would-be more and sound by-much sooner — would-become than if
πλανώμενος ἰητρεύοιτο· εἰ μέντοι πεμπταῖος ἢ ἑκταῖος ἐὼν
wandering he-were-treated if however on-the-fifth or on-the-sixth being
ἢ καὶ ἔτι ἀνωτέρω, ἀναστὰς ἐθέλοι προβαίνειν, μᾶλλον
or even still later standing-up he-should-wish to-walk-about more

ἂν πονέοι τότε ἢ εἰ αὐτίκα ἐξ ἀρχῆς πλανώμενος
— *he-would-suffer then than if at-once from beginning wandering*
ἰητρεύοιτο· εἰ δὲ καὶ πολλὰ ταλαιπωρήσειεν ἐξαπίνης,
he-were-treated if and also much he-should-toil suddenly
πολλῷ ἂν μᾶλλον πονήσειεν ἢ εἰ ἐκείνως ἰητρευόμενος
by-much — more he-would-suffer than if that-way being-treated
τὰ αὐτὰ ταῦτα ταλαιπωρήσειεν ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν.
the same these he-should-toil in these the days
Διὰ τέλεος οὖν μαρτυρέει ταῦτα πάντα ἀλλήλοισιν, ὅτι
Through-to (the)-end then bear-witness these all to-one-another that
πάντα ἐξαπίνης μέζω πολλῷ τοῦ μετρίου μεταβαλλόμενα
all-things suddenly greater by-much than-the measure changing
ἐπὶ τὰ, καὶ ἐπὶ τὰ, βλάπτει. Πολλαπλασίη μὲν οὖν
toward this and toward that harm Many-times-greater indeed then
κατὰ κοιλίην ἡ βλάβη ἐστὶν, ἢν ἐκ πολλῆς κενεαγγείης
in-respect-of belly the harm is if from much fasting
ἐξαπίνης πλέον τοῦ μετρίου προσαίρηται (ἀτὰρ καὶ κατὰ
suddenly more than-the measure one-takes-in but also in-respect-of
τὸ ἄλλο σῶμα, ἢν ἐκ πολλῆς ἡσυχίης ἐξαίφνης ἐς πλείω
the other body if from much quiet suddenly into more
πόνον ἔλθοι, πουλὺ πλείω βλαβείη), ἢ εἰ ἐκ πολλῆς
labor he-should-come much more he-would-be-harmed than if from much
ἐδωδῆς ἐς κενεαγγείην μεταβάλλοι· δεῖ μέντοι καὶ τὸ
eating to fasting he-should-change it-is-needful however also the
σῶμα τουτέοισιν ἐλινύειν· καὶ ἢν ἐκ πολλῆς ταλαιπωρίης
body for-these to-rest and if from much toil
ἐξαπίνης ἐς σχολήν τε καὶ ῥᾳθυμίην ἐμπέσῃ, δεῖ δὲ καὶ
suddenly into leisure both and ease it-fall it-is-needful and also
τουτέοισι τὴν κοιλίην ἐλινύειν ἐκ πλήθεος βρώμης· ἢν δὲ μὴ,
for-these the belly to-rest from abundance of-food if and not
πόνον ἐν τῷ σώματι ἐμποιήσει καὶ βάρος ὅλου τοῦ σώματος.
pain in the body it-will-produce and heaviness of-whole of-the body

Gruel is not given before the disease ripens. Sweet wine is less heavy on the head and more laxative, but windy and thirst-making; white vinous wine passes to the bladder and is the better diuretic; dark harsh wine suits loose bowels when the head and sputum are clear. Hydromel softens the lung, brings up sputum, and is diuretic, but suits the bilious and those with large viscera less. It is called weakening, yet it is much stronger than water. Boiled hydromel looks finer but is weaker, and it serves when the honey is bad.

Ὁ δὴ οὖν πλεῖστός μοι λόγος γέγονε περὶ τῆς 13
The indeed then most to-me discourse has-been about the
μεταβολῆς τῆς ἐπὶ τὰ καὶ ἐπὶ τά· ἐς πάντα μὲν
change the toward this and toward that for all-things indeed
οὖν εὔχρηστον ταῦτα εἰδέναι· ἀτὰρ καὶ περὶ οὗ ὁ
then useful these to-know but also about which the
λόγος ἦν, ὅτι ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἐς τὰ ῥοφήματα
discourse was that in the acute diseases to the gruels
μεταβάλλουσιν ἐκ τῆς κενεαγγείης· μεταβλητέον γὰρ ὡς
they-change from the fasting one-must-change for as
ἐγὼ κελεύω· ἔπειτα οὐ χρηστέον ῥοφήμασι πρὶν ἡ νοῦσος
I bid then not one-must-use gruels before the disease
πεπανθῇ, ἢ ἄλλο τι σημεῖον φανῇ, ἢ κατ᾽ ἔντερον
be-ripened or other some sign appear either in intestine
κενεαγγικὸν, ἢ ἐρεθιστικὸν, ἢ κατὰ τὰ ὑποχόνδρια, ὁκοῖα
of-emptiness or of-irritation or in the hypochondria such-as
γεγράψεται. Ἀγρυπνίη ἰσχυρὴ πόμα καὶ σιτίον ἀπεπτότερα
shall-be-written Sleeplessness strong drink and food less-concocted
ποιέει, καὶ ἡ ἐπὶ τὰ ἕτερα αὖ μεταβολὴ διαλύει σῶμα,
makes and the toward the other again change relaxes body
καὶ ἐφθότητα καὶ καρηβαρίην ἐμποιέει.
and soddenness and heaviness-of-head produces

14 Γλυκὺν δὲ οἶνον καὶ οἰνώδεα καὶ λευκὸν καὶ μέλανα, καὶ
Sweet and wine and vinous and white and dark and
μελίκρητον, καὶ ὕδωρ, καὶ ὀξύμελι, τοισίδε σημαινόμενον
hydromel and water and oxymel by-these being-signified
χρὴ διορίζειν ἐν τῇσιν ὀξείῃσι νούσοισιν. Ὁ μὲν γλυκὺς
one-must distinguish in the acute diseases The indeed sweet
ἧσσόν ἐστι καρηβαρικὸς τοῦ οἰνώδεος, καὶ ἧσσον φρενῶν
less is heavy-headed than-the vinous and less of-the-wits
ἁπτόμενος, καὶ διαχωρητικώτερος δή τι τοῦ ἑτέρου
taking-hold and more-laxative indeed somewhat than-the other
κατ᾽ ἔντερον, μεγαλόσπλαγχνος δὲ σπληνὸς καὶ ἥπατος· οὐκ
in intestine enlarging-the-viscera but of-spleen and of-liver not
ἐπιτήδειος δὲ οὐδὲ τοῖσι πικροχόλοισι· καὶ γὰρ οὖν διψώδης
suitable and nor for-the bitter-bilious and for then thirst-making
τοῖσί γε τοιουτέοισίν ἐστιν· ἀτὰρ καὶ φυσώδης τοῦ ἐντέρου
for-the at-least such is but also windy of-the intestine
τοῦ ἄνω· οὐ μὴν πολέμιός γε τῷ ἐντέρῳ τῷ κάτω, ὡς
the upper not however hostile at-least to-the intestine the lower as
κατὰ λόγον τῆς φύσης· καίτοι γε οὐ πάνυ πορίμη ἐστὶν ἡ
in proportion to-the wind and-yet at-least not very passable is the
ἀπὸ τοῦ γλυκέος οἴνου φῦσα, ἀλλ᾽ ἐγχρονίζει περὶ ὑποχόνδρια.
from the sweet wine wind but lingers about hypochondria
Καὶ γὰρ οὖν οὗτος ἧσσον διουρητικὸς γίγνεται τὸ ἐπίπαν
And for then this less diuretic becomes on-the whole
τοῦ οἰνώδεος λευκοῦ· πτυάλου δὲ μᾶλλον ἀναγωγός ἐστι
than-the vinous white of-sputum but more bringing-up is
τοῦ ἑτέρου ὁ γλυκύς. Καὶ οἷσι μὲν διψώδης ἐστὶ
than-the other the sweet And for-whom indeed thirst-making it-is
πινόμενος, ἧσσον ἂν τούτοισιν ἀνάγοι ἢ ὁ ἕτερος οἶνος,
being-drunk less — for-these it-would-bring-up than the other wine
οἷσι δὲ μὴ διψώδης, μᾶλλον ἀνάγοι ἂν τοῦ ἑτέρου.
for-whom but not thirst-making more would-bring-up — than-the other

Ὁ δὲ λευκὸς οἰνώδης οἶνος ἐπῄνηται μὲν καὶ ἔψεκται
The and white vinous wine has-been-praised indeed and has-been-blamed
τὰ πλεῖστα καὶ τὰ μέγιστα ἤδη ἐν τῇ τοῦ γλυκέος
the most and the greatest already in the of-the sweet
οἴνου διηγήσει· ἐς δὲ κύστιν μᾶλλον πόριμος ἐὼν τοῦ
wine account to and bladder more passable being than-the
ἑτέρου καὶ διουρητικὸς καὶ καταῤῥηκτικὸς, αἰεὶ πολλὰ
other and diuretic and purgative always much
προσωφελέοι ἂν ἐν ταύτῃσι τῇσι νούσοισι· καὶ γὰρ εἰ
would-help-besides — in these the diseases and for if
πρὸς ἄλλα ἀνεπιτηδειότερος τοῦ ἑτέρου πέφυκεν, ἀλλ᾽
for other-things less-suitable than-the other it-is-by-nature but
ὅμως ἡ κατὰ κύστιν κάθαρσις ὑπ᾽ αὐτέου γιγνομένη
nevertheless the by bladder purging by it happening
ῥύεται, ἢν προτρέπηται ὁκοῖον δεῖ. Καλὰ δὲ ταῦτα
rescues if it-be-urged-on such-as needful Fine and these
τεκμήριά ἐστι τὰ περὶ οἴνου ὠφελίης καὶ βλάβης, ὁκόσα
evidences are the about wine benefit and harm such-as
ἀκαταμάθητα ἦν τοῖσιν ἐμεῦ γεραιτέροισιν. Κιῤῥῷ δὲ
unlearned were to-the than-me elder Tawny and
οἴνῳ καὶ μέλανι αὐστηρῷ ἐν ταύτῃσι τῇσι νούσοισιν ἐς
wine and dark harsh in these the diseases for
τάδε ἂν χρήσαιο· εἰ καρηβαρίη μὲν μὴ ἐνείη, μηδὲ
these-things — you-might-use if heaviness-of-head indeed not be-present nor
φρενῶν ἄψις, μηδὲ τὸ πτύελον κωλύοιτο τῆς ἀνόδου, μηδὲ
of-wits seizure nor the sputum be-hindered from-the coming-up nor
τὸ οὖρον ἴσχοιτο, τὰ διαχωρήματα δὲ πλαδαρώτερα καὶ
the urine be-held-back the stools but more-moist and
ξυσματωδέστερα εἴη, ἐν δὴ τοῖσι τοιουτέοισι πρέποι ἂν
more-scrapy be in indeed the such it-would-befit —
μάλιστα μεταβάλλειν ἐκ τοῦ λευκοῦ, καὶ ὁκόσα τουτέοισιν
most to-change from the white and whatever to-these

ἐμφερέα. Προσξυνιέναι δὲ δεῖ, ὅτι τὰ μὲν ἄνω πάντα
like To-understand-besides and one-must that the indeed upper all
καὶ τὰ κατὰ κύστιν ἧσσον βλάψει, ἢν ὑδαρέστερος ᾖ,
and the about bladder less it-will-harm if more-watery it-be
τὰ δὲ κατ᾽ ἔντερον μᾶλλον ὀνήσει, ἢν ἀκρητέστερος ᾖ.
the but in intestine more it-will-benefit if less-mixed it-be
15 Μελίκρητον δὲ πινόμενον διὰ πάσης τῆς νούσου ἐν
Hydromel and drunk through all the disease in
τῇσιν ὀξείῃσι νούσοισι τὸ ἐπίπαν μὲν τοῖσι πικροχόλοισι
the acute diseases on-the whole indeed for-the bitter-bilious
καὶ μεγαλοσπλάγχνοισιν ἧσσον ἐπιτήδειον ἢ τοῖσι μὴ
and large-viscered less suitable than for-the not
τοιούτοισίν ἐστιν· διψῶδές γε μὴν ἧσσον τοῦ
such is thirst-making at-least however less than-the
γλυκέος οἴνου· πλεύμονός τε γὰρ μαλθακτικόν ἐστι,
sweet wine of-the-lung both for softening it-is
καὶ πτυέλου ἀναγωγὸν μετρίως, καὶ βηχὸς παρηγορικόν·
and of-sputum bringing-up moderately and of-cough soothing
ἔχει γὰρ σμηγματῶδές τι, ὃ μᾶλλον τοῦ μετρίου
it-has for detergent something which more than-the measure
καταγλισχραίνει τὸ πτύελον. Ἔστι δὲ καὶ οὐρητικὸν
makes-viscid the sputum It-is and also diuretic
μελίκρητον ἱκανῶς, ἢν μή τι τῶν ἀπὸ σπλάγχνων
hydromel sufficiently if not something of-the-things from viscera
κωλύῃ. Καὶ διαχωρητικώτερον δὲ κάτω χολωδέων, ἔστι
hinder Also more-laxative and downward of-bilious-things it-is
μὲν ὅτε καλῶν, ἔστι δ᾽ ὅτε κατακορεστέρων μᾶλλον τοῦ
indeed when good it-is and when more-deep-colored more than-the
καιροῦ, καὶ ἀφρωδεστέρων· μᾶλλον δὲ τὸ τοιοῦτο τοῖσι
due and more-frothy more but the such-thing in-the
χολώδεσί τε καὶ μεγαλοσπλάγχνοισι γίγνεται. Πτυάλου
bilious both and large-viscered happens Of-sputum

μὲν οὖν ἀναγωγὴν καὶ πλεύμονος μάλθαξιν τὸ ὑδαρέστερον
indeed then bringing-up and of-lung softening the more-watery
μελίκρητον ποιέει μᾶλλον· τὰ μέντοι ἀφρώδεα διαχωρήματα
hydromel produces more the however frothy stools
καὶ μᾶλλον τοῦ καιροῦ κατακορέως χολώδεα, καὶ μᾶλλον
and more than-the due deeply bilious and more
θερμὰ, τὸ ἄκρητον μᾶλλον τοῦ ὑδαρέος ἄγει· τὸ δὲ
hot the unmixed more than-the watery draws-off the and
τοιόνδε διαχώρημα ἔχει μὲν καὶ ἄλλα σίνεα μεγάλα· οὔτε
such stool has indeed also other harms great neither
γὰρ ἐξ ὑποχονδρίων καῦμα σβεννύει, ἀλλὰ ὁρμᾷ, δυσφορίην
for from hypochondria burning it-quenches but stirs-up distress
τε καὶ ῥιπτασμὸν τῶν μελέων ποιέει, ἑλκώδές τέ ἐστι
both and tossing of-the limbs makes ulcerating and it-is
καὶ ἐντέρου καὶ ἕδρης· ἀλεξητήρια δὲ τουτέων γεγράψεται.
both of-intestine and of-anus remedies and of-these shall-be-written
Ἄνευ μὲν οὖν ῥοφημάτων μελικρήτῳ χρεόμενος ἀντ᾽
Without indeed then gruels hydromel using instead-of
ἄλλου ποτοῦ ἐν ταύτῃσι τῇσι νούσοισι πολλὰ ἂν εὐτυχοίης,
other drink in these the diseases much — you-would-succeed
καὶ οὐκ ἂν πολλὰ ἀτυχοίης· οἷσι δὲ δοτέον, καὶ οἷσιν
and not — much you-would-fail to-whom and one-must-give and to-whom
οὐ δοτέον, τὰ μέγιστα εἴρηται, καὶ δι᾽ ἃ οὐ δοτέον.
not one-must-give the chief-points have-been-said and for which not one-must-give
Κατέγνωσται δὲ μελίκρητον ὑπὸ τῶν ἀνθρώπων, ὡς
Has-been-condemned and hydromel by the people as
καταγυιοῖ τοὺς πίνοντας, καὶ διὰ τοῦτο ταχυθάνατον εἶναι
it-weakens those drinking and because-of this quick-killing to-be
νενόμισται· ἐκλήθη δὲ τοῦτο διὰ τοὺς ἀποκαρτερέοντας·
it-is-believed was-called and this because-of those starving-themselves
ἔνιοι γὰρ μελικρήτῳ μούνῳ χρέονται ποτῷ, ὡς τοιούτῳ
some for hydromel alone use as-drink as such

δῆθεν ἐόντι· τὸ δὲ οὐ παντάπασιν ὧδε ἔχει· ἀλλ᾽ ὕδατος
forsooth being it but not altogether thus holds but than-water
μὲν πολλῷ ἰσχυρότερόν ἐστι πινόμενον μοῦνον, εἰ μὴ
indeed by-much stronger it-is drunk alone if not
ταράσσοι τὴν κοιλίην· ἀτὰρ καὶ οἴνου λεπτοῦ καὶ
it-disturb the belly but also than-wine thin and
ὀλιγοφόρου καὶ ἀνόσμου ᾗ μὲν ἰσχυρότερον, ᾗ
weak and scentless in-one-way indeed stronger in-another
δὲ ἀσθενέστερον. Μέγα μὴν διαφέρει καὶ οἴνου καὶ μέλιτος
and weaker Greatly however differs both of-wine and of-honey
ἀκρητότης· ἐς ἰσχὺν ἀμφοτέρων δ᾽ ὅμως τούτων, εἰ
unmixedness for strength of-both but nevertheless of-these if
διπλάσιον μέτρον οἴνου ἀκρήτου πίνοι τις ἢ ὁκόσον
double measure of-wine unmixed should-drink someone than how-much
μέλι ἐκλείχοι, πολλῷ ἂν δήπου ἰσχυρότερος εἴη
honey he-should-lick-up by-much — surely stronger he-would-be
ὑπὸ τοῦ μέλιτος, εἰ μοῦνον μὴ ταράσσοι τὴν κοιλίην·
by the honey if only not it-disturb the belly
πολλαπλάσιον γὰρ καὶ τὸ κόπριον διεξίοι ἂν αὐτέῳ.
many-times-greater for also the dung would-pass-through — for-him
Εἰ μέντοι ῥοφήματι χρέοιτο πτισάνῃ, ἐπιπίνοι δὲ
If however as-gruel he-should-use barley-gruel should-drink-after and
μελίκρητον, ἄγαν πλησμονῶδες ἂν εἴη καὶ φυσῶδες,
hydromel very surfeiting — it-would-be and windy
καὶ τοῖσι κατὰ τὰ ὑποχόνδρια σπλάγχνοισιν ἀξύμφορον·
and to-the in the hypochondria viscera unsuitable
προπινόμενον μέντοι πρὸ ῥοφήματος μελίκρητον οὐ βλάπτει
drunk-before however before gruel hydromel not harms
ὡς μεταπινόμενον, ἀλλά τι καὶ ὠφελέει. Ἑφθὸν δὲ
as drunk-after but somewhat even helps Boiled and
μελίκρητον ἐσιδεῖν μὲν πολλῷ κάλλιον τοῦ ὠμοῦ·
hydromel to-look-at indeed by-much finer than-the raw

λαμπρὸν γὰρ καὶ λεπτὸν καὶ λευκὸν καὶ διαφανὲς γίγνεται·
bright for and thin and white and transparent it-becomes
ἀρετὴν δὲ ἥντινα αὐτέῳ προσθέω διαφέρουσάν τι
virtue but what to-it I-should-add differing somewhat
τοῦ ὠμοῦ οὐκ ἔχω· οὐδὲ γὰρ ἥδιόν ἐστι τοῦ ὠμοῦ, ἢν
from-the raw not I-have nor for sweeter is than-the raw if
τυγχάνῃ γε τὸ μέλι καλὸν ἐόν· ἀσθενέστερον μέντοι γε
it-happen at-least the honey fine being weaker however at-least
τοῦ ὠμοῦ καὶ ἀκοπρωδέστερόν ἐστιν· ὧν οὐδετέρης
than-the raw and less-purging it-is of-which neither
τιμωρίης προσδέεται μελίκρητον. Ἄγχιστα δὲ χρηστέον
help needs hydromel Chiefly and one-must-use
αὐτέῳ τοιῷδε ἐόντι, εἰ τὸ μέλι τυγχάνοι πονηρὸν ἐὸν καὶ
it such being if the honey should-happen bad being and
ἀκάθαρτον καὶ μέλαν καὶ μὴ εὐῶδες· ἀφέλοιτο γὰρ ἂν ἡ
impure and dark and not fragrant would-remove for — the
ἕψησις τῶν κακοτήτων αὐτέου τὰ πλείονα τοῦ αἴσχεος.
boiling of-the faults its the greater of-the ugliness

Oxymel brings up sputum and eases breathing, but very sour oxymel can make the sputum sticky. A little sourness moistens the mouth and checks the harm of honey, though oxymel can chill the extremities and harm the lower bowel. Vinegar helps the bitter-bilious more than the black-bilious and is hard on women. Water alone does little in acute diseases and harms the bilious, and wine is withheld when the head or wits are affected. A bath helps many, pneumonia more than ardent fever, if the house and attendants are ready, but not those with loose or bound bowels, the weak, or the nauseous.

16 Τὸ δὲ ὀξύμελι καλεύμενον ποτὸν πολλαχοῦ μὲν εὔχρηστον
The and oxymel called drink in-many-ways indeed useful
ἐν ταύτῃσι τῇσι νούσοισιν εὑρήσεις ἐόν· καὶ γὰρ πτυάλου
in these the diseases you-will-find being and for of-sputum
ἀναγωγόν ἐστι, καὶ εὔπνοον. Καιροὺς μέντοι τοιούσδε
bringing-up it-is and easing-breath Occasions however such
ἔχει· τὸ μὲν γὰρ κάρτα ὀξὺ οὐδὲν ἂν μέσον ποιήσειε
it-has the indeed for very sour nothing — middling would-do
πρὸς τὰ πτύελα τὰ μὴ ῥηϊδίως ἀνιόντα· εἰ γὰρ
toward the sputa the not easily coming-up if for
ἀνάγοι μὲν τὰ ἐγκέρχνοντα, καὶ ὄλισθον ἐμποιήσειε, καὶ
it-bring-up indeed the things-rasping and slipperiness should-produce and
ὥσπερ διαπτερώσειε τὸν βρόγχον, παρηγορήσειεν ἂν τὸν
as-it-were should-feather-clean the windpipe would-soothe — the
πλεύμονα· μαλθακτικὸν γὰρ αὐτέου· καὶ εἰ μὲν ταῦτα
lung softening for of-it and if indeed these
ξυγκυρήσειε, μεγάλην ἂν ὠφελείην ποιήσειεν. Ἔστι δ'
should-coincide great — benefit it-would-make It-is and
ὅτε τὸ κάρτα ὀξὺ οὐκ ἐκράτησε τῆς ἀναγωγῆς τοῦ
when the very sour not mastered the bringing-up of-the
πτυέλου, ἀλλὰ προσεγλίσχρηνέ τε καὶ ἔβλαψεν· μάλιστα
sputum but made-it-viscid both and harmed most

δὲ τοῦτο πάσχουσιν οἵπερ καὶ ἄλλως ὀλέθριοί εἰσι, καὶ
and this suffer those-very-who also otherwise doomed are and
ἀδύνατοι βήσσειν τε καὶ ἀποχρέμπτεσθαι τὰ ἐνεχόμενα.
unable to-cough both and to-hawk-up the things-lodged
Ἐς μὲν οὖν τόδε προστεκμαίρεσθαι χρὴ τὴν ῥώμην
For indeed then this to-judge-besides one-must the strength
τοῦ κάμνοντος, κἢν ἐλπίδα ἔχῃ, διδόναι· διδόναι δὲ, ἢν
of-the sick-man and-if hope he-have to-give to-give and if
διδῷς, ἀκροχλίαρον καὶ κατ᾽ ὀλίγον τὸ τοιόνδε, καὶ μὴ
you-give lukewarm and by little the such and not
λάβρως.
greedily
Τὸ μέντοι ὀλίγον ἔποξυ ὑγραίνει μὲν τὸ στόμα καὶ
The however slightly sourish moistens indeed the mouth and
φάρυγγα· ἀναγωγὸν δὲ πτυέλου ἐστὶ καὶ ἄδιψον·
throat bringing-up and of-sputum it-is and thirst-quenching
ὑποχονδρίῳ δὲ καὶ σπλάγχνοισι καὶ ταύτῃ εὐμενές· καὶ
to-hypochondrium but and to-viscera and there kindly and
τὰς ἀπὸ μέλιτος βλάβας κωλύει· τὸ γὰρ χολῶδες ἐν
the from honey harms it-prevents the for bilious(-part) in
μέλιτι κολάζεται. Ἔστι δὲ καὶ φυσέων καταῤῥηκτικὸν,
honey is-checked It-is and also of-winds breaking-down
καὶ ἐς οὔρησιν προτρεπτικόν· ἐντέρου μέντοι τῷ κάτω
and to urination urging of-intestine however to-the lower
μέρει πλαδαρώτερον, καὶ ξύσματα ἐμποιέει· ἔστι δ᾽ ὅτε
part more-flabby and scrapings it-produces it-is and when
καὶ φλαῦρον τοῦτο ἐν τῇσιν ὀξείῃσι νούσοισι γίγνεται,
also bad this in the acute diseases becomes
μάλιστα μὲν ὅτι φῦσαν κωλύει περαιοῦσθαι, ἀλλὰ
most indeed because wind it-prevents to-pass-through but
παλινδρομέειν ποιέει· ἔτι δὲ καὶ ἄλλως γυιοῖ καὶ τὰ
to-run-back makes still and also otherwise it-weakens and the

ἀκρωτήρια ψύχει· ταύτην καὶ οἶδα μούνην δι᾽ ὀξυμέλιτος
extremities chills this also I-know alone through oxymel
γιγνομένην βλάβην, ἥτις καὶ ἀξίη γραφῆς. Ὀλίγον δὲ τὸ
coming-about harm which also worthy of-writing A-little and the
τοιόνδε ποτὸν νυκτὸς μὲν καὶ νήστει πρὸ ῥοφήματος
such drink by-night indeed and to-one-fasting before gruel
ἐπιτήδειον προπίνεσθαι· ἀτὰρ καὶ ὁκόταν πουλὺ μετὰ
suitable to-be-drunk-before but also whenever long after
ῥόφημα ᾖ, οὐδὲν κωλύει πίνειν. Τοῖσι δὲ ποτῷ μοῦνον
gruel it-be nothing prevents to-drink For-those and on-drink alone
διαιτωμένοισιν ἄνευ ῥοφημάτων διὰ τόδε οὐκ ἐπιτήδειόν
being-dieted without gruels for this not suitable
ἐστιν αἰεὶ καὶ διὰ παντὸς χρέεσθαι τούτῳ, μάλιστα μὲν
it-is always and through all to-use this most indeed
διὰ ξύσιν ἢ τρηχυσμὸν τοῦ ἐντέρου (ἀκόπρῳ γὰρ ἐόντι
for scraping or roughening of-the intestine without-dung for being
μᾶλλον ἐμποιέοι ἂν, καὶ ταῦτα κενεαγγείης παρεούσης)·
more it-would-produce — also these fasting being-present
ἔπειτα δὲ καὶ τὸ μελίκρητον τῆς ἰσχύος ἀφαιρέοιτο
then and also the hydromel of-the strength would-take-away
ἄν.

—

Ἢν μέντοι ἀρήγειν φαίνηται πρὸς τὴν ξύμπασαν νοῦσον,
If however to-help it-appear toward the whole disease
πολλῷ ποτῷ τούτῳ χρέεσθαι, ὀλίγον χρὴ τὸ ὄξος
much drink this to-use little one-must the vinegar
παραχέειν, ὅσον μοῦνον γιγνώσκεσθαι· οὕτω γὰρ
to-pour-in as-much-as only to-be-perceived so for
καὶ ἃ φιλέει βλάπτειν, ἥκιστα ἂν βλάπτοι, καὶ ἃ
both what it-tends to-harm least — would-harm and what
δεῖται προσωφελέειν, προσωφελοίη ἄν. Ἐν κεφαλαίῳ
it-needs to-help-besides would-help-besides — In sum

δ᾽ εἴρησθαι, αἱ ἀπὸ ὀξέος ὀξύτητες πικροχόλοισι
and let-it-be-said the from vinegar sharpnesses to-the-bitter-bilious
μᾶλλον ἢ μελαγχολικοῖσι ξυμφέρουσι· τὰ μὲν γὰρ
more than to-the-black-bilious are-beneficial the indeed for
πικρὰ διαλύεται καὶ ἐκφλεγματοῦται, μετεωριζόμενα ὑπ᾽
bitter-things are-dissolved and turned-to-phlegm being-raised by
αὐτέου· τὰ δὲ μέλανα ζυμοῦται καὶ μετεωρίζεται καὶ
it the but black-things are-fermented and are-raised and
πολλαπλασιοῦται· ἀναγωγὸν γὰρ μελάνων, ὄξος. Γυναιξὶ δὲ
are-multiplied bringing-up for of-black-things vinegar For-women and
τὸ ἐπίπαν πολεμιώτερον ἢ ἀνδράσιν ὄξος· ὑστεραλγὲς
on-the whole more-hostile than for-men vinegar womb-paining
γάρ ἐστιν.
for it-is

Ὕδατι δὲ ποτῷ ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἄλλο μὲν οὐδὲν 17
Water and as-drink in the acute diseases other indeed no
ἔχω ἔργον ὅ τι προσθέω· οὔτε γὰρ βηχὸς παρηγορικόν
I-have effect what — I-should-add neither for of-cough soothing
ἐστιν ἐν τοῖσι περιπλευμονικοῖσιν, οὔτε πτυέλου ἀναγωγὸν,
it-is in the pneumonia-cases nor of-sputum bringing-up
ἀλλ᾽ ἧσσον τῶν ἄλλων, εἴ τις διὰ παντὸς ὕδατι
but less than-the others if someone through all water
ποτῷ χρέοιτο. Μεσηγὺ μέντοι ὀξυμέλιτος καὶ μελικρήτου
as-drink should-use Between however oxymel and hydromel
ὕδωρ ἐπιῤῥοφεόμενον ὀλίγον πτυέλου ἀναγωγόν ἐστι διὰ
water sipped-after a-little of-sputum bringing-up is because-of
τὴν μεταβολὴν τῆς ποιότητος τῶν ποτῶν· πλημμυρίδα
the change of-the quality of-the drinks a-flood
γάρ τινα ἐμποιέει. Ἄλλως δὲ οὔτε δίψαν παύει, ἀλλ᾽
for some it-produces Otherwise and neither thirst it-stops but
ἐπιπικραίνει· χολῶδες γὰρ φύσει χολώδει, καὶ ὑποχονδρίῳ
makes-bitter-besides bilious for to-nature bilious and to-hypochondrium

κακόν· καὶ κάκιστον ἑωυτοῦ καὶ χολωδέστατον καὶ
bad and worst of-itself and most-bilious and
φιλαδυναμώτατον, ὅταν ἐς κενεότητα ἐσέλθῃ· καὶ σπληνὸς
most-weakening when into emptiness it-enters and of-spleen
δὲ αὐξητικὸν καὶ ἥπατός ἐστιν, ὁκόταν πεπυρωμένον ᾖ·
and enlarging and of-liver it-is whenever inflamed it-be
καὶ ἐγκλυδαστικόν τε καὶ ἐπιπολαστικόν· βραδύπορόν
and gurgling both and floating slow-passing
τε γάρ ἐστι διὰ τὸ ὑπόψυχρον καὶ ἄπεπτον εἶναι·
both for it-is because-of the coldish and unconcocted to-be
καὶ οὔτε διαχωρητικὸν, οὔτε διουρητικόν· προσβλάπτει
and neither laxative nor diuretic it-harms-besides
δέ τι καὶ διὰ τόδε, ὅτι ἄκοπρόν ἐστι φύσει· ἢν
and somewhat also because-of this that without-dung it-is by-nature if
δὲ δὴ καὶ ποδῶν ψυχρῶν ποτε ἐόντων ποθῇ, πάντα
and indeed also feet cold ever being it-be-drunk all
ταῦτα πολλαπλασίως βλάπτει, ἐς ὅ τι ἂν αὐτέων
these many-times-over it-harms to what — — of-them
ὁρμήσῃ.
it-rush

Ὑποπτεύσαντι μέντοι ἐν ταύτῃσι τῇσι νούσοισιν ἢ
For-one-suspecting however in these the diseases either
καρηβαρίην ἰσχυρὴν ἢ φρενῶν ἄψιν, παντάπασιν οἴνου
heaviness-of-head strong or of-wits seizure altogether from-wine
ἀποσχετέον· ὕδατι δὲ ἐν τῷ τοιῷδε χρηστέον, ἢ ὑδαρέα καὶ
one-must-abstain water and in the such-case one-must-use or watery and
κιρρὸν παντελῶς δοτέον οἶνον καὶ ἄοσμον παντάπασι,
tawny entirely one-must-give wine and scentless altogether
καὶ μετὰ τὴν πόσιν αὐτοῦ ὕδωρ μεταποτέον ὀλίγον·
and after the drinking of-it water one-must-drink-after a-little
οὕτω γὰρ ἂν ἧσσον τὸ ἀπὸ τοῦ οἴνου μένος ἅπτοιτο
so for — less the from the wine force would-seize

τῆς κεφαλῆς καὶ γνώμης· ἐν οἷσι δὲ μάλιστα αὐτέων
the head and mind in which and most of-them
ὕδατι ποτῷ χρηστέον, καὶ ὁκότε πολλῷ κάρτα, καὶ ὅκου
water as-drink one-must-use and when much very and where
μετρίῳ, καὶ ὅκου ψυχρῷ, καὶ ὅκου θερμῷ, τὰ μέν
moderate and where cold and where hot the-things indeed
που πρόσθεν εἰρέαται, τὰ δὲ ἐν αὐτέοισι τοῖσι
somewhere before have-been-said the-things and in the-very the
καιροῖσι ῥηθήσεται. Κατὰ ταῦτα δὲ καὶ περὶ τῶν
occasions will-be-said According-to these and also about the
ἄλλων ποτῶν, οἷον τὸ κρίθινον, καὶ τὰ ἀπὸ χλοίης
other drinks such-as the barley(-drink) and the from green-shoots
ποιεύμενα, καὶ τὰ ἀπὸ σταφίδος καὶ στεμφύλων καὶ
made and the from raisin and grape-skins and
πυρῶν καὶ κνήκου καὶ μύρτων καὶ ῥοιῆς καὶ τῶν
wheat and safflower and myrtle-berries and pomegranate and the
ἄλλων, ὅταν τινὸς αὐτέων καιρὸς ᾖ χρέεσθαι, γεγράψεται
others whenever some of-them occasion be to-use it-shall-be-written
παρ᾽ αὐτέῳ τῷ νουσήματι, ὅκως περ καὶ τἄλλα τῶν
beside the-very the illness as just also the-rest of-the
ξυνθέτων φαρμάκων.
compound drugs
Λουτρὸν δὲ συχνοῖσι τῶν νουσημάτων ἀρήγοι ἂν 18
A-bath and in-many of-the illnesses would-help —
χρεομένοισιν, ἐς τὰ μὲν ξυνεχέως, ἐς τὰ δ᾽ οὔ. Ἔστι
for-those-using for some indeed continually for others and not It-is
δὲ ὅτε ἧσσον χρηστέον διὰ τὴν ἀπαρασκευασίην
and when less one-must-use because-of the unpreparedness
τῶν ἀνθρώπων· ἐν ὀλίγῃσι γὰρ οἰκίῃσι παρεσκεύασται
of-the people in few for houses have-been-prepared
τὰ ἄρμενα καὶ οἱ θεραπεύοντες ὡς δεῖ· εἰ δὲ μὴ
the appliances and the attendants as needful if and not

παγκάλως λούοιτο, βλάπτοιτ' ἂν οὐ σμικρά· καὶ γὰρ
perfectly he-be-bathed he-would-be-harmed — not slightly and for
σκέπης ἀκάπνου δεῖ, καὶ ὕδατος δαψιλέος, καὶ τοῦ
shelter smokeless is-needed and water abundant and the
λουτροῦ συχνοῦ καὶ μὴ λίην λάβρου, ἤν γε μὴ οὕτω
bath frequent and not too violent if at-least not so
δέῃ. Καὶ μᾶλλον μὲν μὴ σμήχεσθαι· ἢν δὲ σμήχηται,
it-need And rather indeed not to-be-soaped if and he-be-soaped
θερμῷ χρέεσθαι αὐτέῳ καὶ πολλαπλασίῳ ἢ ὡς νομίζεται
hot to-use it and many-times-more than as is-customary
σμήγματι, καὶ προσκαταχέεσθαι μὴ ὀλίγῳ, καὶ ταχέως
soap and to-be-doused-besides not with-little and quickly
μετακαταχέεσθαι. Δεῖ δὲ καὶ τῆς ὁδοῦ βραχείης ἐς
to-be-doused-again There-is-need and also of-the way short to
τὴν πύελον, καὶ ἐς εὐέμβατον καὶ ἐς εὐέκβατον· εἶναι
the tub and for easy-to-enter and for easy-to-leave to-be
δὲ καὶ τὸν λουόμενον κόσμιον καὶ σιγηλὸν, καὶ μηδὲν
and also the (one)-being-bathed orderly and silent and nothing
αὐτὸν προσεξεργάζεσθαι, ἀλλ' ἄλλους καὶ καταχέειν καὶ
himself to-do-besides but others both to-douse and
σμήχειν· καὶ μετακέρασμα πολλὸν ἡτοιμᾶσθαι, καὶ τὰς
to-soap and mixed-water much to-have-been-readied and the
ἐπαντλήσιας ταχείας ποιέεσθαι· καὶ σπόγγοισι χρέεσθαι
affusions quick to-make and sponges to-use
ἀντὶ στλεγγίδος, καὶ μὴ ἄγαν ξηρὸν χρίεσθαι τὸ
instead-of strigil and not too dry to-be-anointed the
σῶμα.
body
Κεφαλὴν μέντοι ἀνεξηράνθαι χρὴ ὡς οἷόν τε μάλιστα
Head however to-have-been-dried one-must as possible — most
ὑπὸ σπόγγου ἐκμασσομένην, καὶ μὴ διαψύχεσθαι τὰ
by sponge being-wiped and not to-be-chilled the

ἄκρεα, μήτε τὴν κεφαλὴν, μήτε τὸ ἄλλο σῶμα· καὶ μήτε
extremities neither the head nor the other body and neither
νεοῤῥόφητον μήτε νεόποτον λούεσθαι, μηδὲ ῥοφέειν,
just-having-sipped nor just-having-drunk to-be-bathed nor to-sip
μηδὲ πίνειν ταχὺ μετὰ τὸ λουτρόν. Μέγα μὲν δὴ μέρος
nor to-drink quickly after the bath Great indeed indeed share
χρὴ νέμειν τῷ κάμνοντι, ἢν ὑγιαίνων ᾖ φιλόλουτρος
one-must assign to-the sick-man if being-healthy he-be bath-loving
ἄγαν καὶ εἰθισμένος λούεσθαι· καὶ γὰρ ποθέουσι μᾶλλον
very and accustomed to-be-bathed and for long-for more
οἱ τοιοίδε, καὶ ὠφελέονται λουσάμενοι, καὶ βλάπτονται
the such and are-helped having-bathed and are-harmed
μὴ λουσάμενοι. Ἁρμόζει δὲ ἐν περιπλευμονίῃσι μᾶλλον
not having-bathed It-suits and in pneumonias more
ἢ ἐν καύσοισι τὸ ἐπίπαν· καὶ γὰρ ὀδύνης τῆς κατὰ
than in ardent-fevers on-the whole and for of-pain the in
πλευρὴν καὶ στήθεα καὶ μετάφρενον παρηγορικόν ἐστι
side and chest and back soothing is
τὸ λουτρὸν, καὶ πτυέλου πεπαντικὸν καὶ ἀναγωγὸν, καὶ
the bath and of-sputum ripening and bringing-up and
εὔπνοον καὶ ἄκοπον· μαλθακτικὸν γὰρ καὶ ἄρθρων
easing-breath and relieving-fatigue softening for both of-joints
καὶ τοῦ ἐπιπολαίου δέρματος· καὶ οὐρητικὸν δὲ, καὶ
and of-the surface skin and diuretic and also
καρηβαρίην λύει, καὶ ῥῖνας ὑγραίνει. Ἀγαθὰ μὲν οὖν
heaviness-of-head it-relieves and nostrils moistens Goods indeed then
λουτρῷ τοσαῦτα πάρεστιν, ὧν πάντων δεῖ· ἢν
to-bath so-many are-present of-which all there-is-need if
μέντοι τῆς παρασκευῆς ἔνδειά τις ᾖ ἑνὸς ἢ πλειόνων,
however of-the preparation lack some be of-one or of-more
κίνδυνος μὴ λυσιτελέειν τὸ λουτρὸν, ἀλλὰ μᾶλλον
danger not to-profit the bath but rather

βλάπτειν· ἓν γὰρ ἕκαστον αὐτέων μεγάλην φέρει τὴν
to-harm one for each of-them great brings the
βλάβην, μὴ παρασκευασθὲν ὑπὸ τῶν ὑπουργῶν ὡς
harm not prepared by the attendants as
δεῖ.
needful
Ἥκιστα δὲ λούειν καιρὸς τούτους οἷσιν ἡ κοιλίη
Least and to-bathe occasion those for-whom the belly
ὑγροτέρη τοῦ καιροῦ ἐν τῇσι νούσοισιν· ἀτὰρ οὐδὲ οἷσιν
looser than-the due in the diseases but nor for-whom
ἕστηκε μᾶλλον τοῦ καιροῦ καὶ μὴ προδιελήλυθεν· οὐδὲ
it-stands more than-the due and not has-passed-before nor
δὴ τοὺς γεγυιωμένους χρὴ λούειν, οὐδὲ τοὺς ἀσώδεας
indeed the weakened one-must to-bathe nor the nauseous
ἢ ἐμετικοὺς, οὐδὲ τοὺς ἐπανερευγομένους χολῶδες, οὐδὲ
or vomiting nor those belching-up bilious(-matter) nor
τοὺς ἐκ ῥινῶν αἱμορῥαγέοντας, εἰ μὴ ἔλασσον τοῦ
those from nostrils bleeding if not less than-the
καιροῦ ῥέοι· τοὺς δὲ καιροὺς οἶδας· ἢν δὲ ἔλασσον
due it-flow the and due-measures you-know if and less
τοῦ καιροῦ ῥέοι, λούειν, ἤν τε ὅλον τὸ σῶμα πρὸς
than-the due it-flow to-bathe if both whole the body toward
τὰ ἄλλα ἀρήγῃ, ἤν τε τὴν κεφαλὴν μοῦνον. Ἢν
the other-things it-help if and the head alone If
οὖν αἵ τε παρασκευαὶ ἔωσιν ἐπιτήδειοι καὶ ὁ κάμνων
then the both preparations be suitable and the sick-man
μέλλῃ εὖ δέξασθαι τὸ λουτρὸν, λούειν χρὴ ἑκάστης
be-going well to-receive the bath to-bathe one-must each
ἡμέρης· τοὺς δὲ φιλολουτρέοντας οὐδ' εἰ δὶς τῆς ἡμέρης
day the and bath-lovers not-even if twice of-the day
λούοις, οὐδὲν ἂν βλάπτοις. Χρέεσθαι δὲ λουτροῖσι τοῖσιν
you-bathe nothing — you-would-harm To-use and baths for-those

ὅλῃσι πτισάνῃσι χρεομένοισι παραπουλὺ μᾶλλον ἐνδέχεται,
whole barley-gruels using by-far more it-is-allowed
ἢ τοῖσι χυλῷ μοῦνον χρεομένοισιν· ἐνδέχεται δὲ καὶ
than for-those juice only using it-is-allowed and also
τουτέοισιν ἐνίοτε· ἥκιστα δὲ καὶ τοῖσι ποτῷ μοῦνον
for-these sometimes least and also for-those drink only
χρεομένοισιν· ἔστι δὲ καὶ οἷσι τουτέων ἐνδέχεται·
using it-is and also for-whom of-these it-is-allowed
τεκμαίρεσθαι δὲ χρὴ τοῖσι προγεγραμμένοισιν οὕς
to-judge and one-must by-the things-written-before whom
τε μέλλει λουτρὸν ὠφελέειν ἐν ἑκάστοισι τῶν τρόπων
both is-going bath to-help in each of-the ways
τῆς διαίτης, οὕς τε μή. Οἷσι μὲν γὰρ προσδέεταί
of-the regimen whom and not For-whom indeed for there-is-need-besides
τινος κάρτα τουτέων, ὁκόσα λουτρὸν ἀγαθὰ ποιέει, καὶ
of-some very of-these whatever bath goods does and
πρόσεστιν αὐτέοισιν ὅσα ἂν λουτρῷ ὠφελέηται, δεῖ
are-present to-them whatever — by-bath is-helped one-must
λούειν· οἷσι δὲ τουτέων μηδενὸς προσδεῖ, καὶ πρόσεστιν
to-bathe for-whom but of-these none is-needed and are-present
αὐτέοισι τῶν σημείων ἐφ᾽ οἷσι λούεσθαι οὐ ξυμφέρει, οὐ
to-them of-the signs at which to-be-bathed not is-beneficial not
δεῖ λούειν.
one-must to-bathe

HIPPOCRATES

ΕΠΙΔΗΜΙΩΝ ΤΟ ΠΡΩΤΟΝ · ΕΠΙΔΗΜΙΩΝ ΤΟ ΤΡΙΤΟΝ

Epidemics I and III

ΕΠΙΔΗΜΙΩΝ ΤΟ ΠΡΩΤΟΝ. ΤΜΗΜΑ ΠΡΩΤΟΝ. ΚΑΤΑΣΤΑΣΙΣ ΠΡΩΤΗ

I · THE FIRST CONSTITUTION

In Thasos, after a rainy southerly autumn and a mild, dry winter like spring, ardent fevers were few and mild. Swellings rose beside the ears in many, chiefly young men at the wrestling school, and vanished harmlessly; others had dry coughs, hoarseness, and inflamed testicles. From early summer many who had long been declining took to bed with consumption and died quickly. The consumptives had continuous semitertian fevers with chills, sweats, thin urine, and thin stools. The other fevers of summer and autumn were long but mild, and only consumption killed.

Ἐν Θάσῳ, φθινοπώρου περὶ ἰσημερίην καὶ ὑπὸ πληϊάδα, 1
In Thasos in-autumn about equinox and near Pleiad
ὕδατα πουλλὰ, ξυνεχέα μαλθακῶς, ἐν νοτίοισι, χειμὼν
rains many continuous gently in southerly(-winds) winter
νότιος, σμικρὰ πνεύματα βόρεια, αὐχμοὶ, τὸ ξύνολον ἔς
southerly slight winds northerly droughts on-the whole for
γε χειμῶνα ὁκοῖον ἦρ γίγνεται. Ἦρ δὲ νότιον, ψυχεινὸν,
at-least winter such-as spring becomes Spring and southerly cold
σμικρὰ ὕσματα. Θέρος ὡς τὸ πουλὺ ἐπινέφελον, ἀνυδρίαι,
slight rains Summer as for-the most cloudy lack-of-rain
ἐτησίαι ὀλίγα, σμικρὰ, διεσπαρμένως ἔπνευσαν. Γενομένης
etesians few slight scatteredly blew Having-become
δὲ τῆς ἀγωγῆς ὅλης ἐπὶ τά νότια, καὶ μετὰ αὐχμῶν, πρωΐ
and the course whole toward the southerly and with droughts early
μὲν τοῦ ἦρος, ἐκ τῆς πρόσθεν καταστάσιος ὑπεναντίης καὶ
indeed of-the spring from the former constitution contrary and
βορείου γενομένης ὀλίγοισιν ἐγένοντο καῦσοι, καὶ τουτέοισι
northerly having-been to-few there-were ardent-fevers and to-these
πάνυ εὐσταθέες, καὶ ὀλίγοισιν ᾑμορῥάγεεν, οὐδ᾽ ἀπέθνησκον
very stable and to-few it-hemorrhaged nor did-they-die

ἐκ τουτέων. Ἐπάρματα δὲ παρὰ τὰ ὦτα, πολλοῖσιν
from these Swellings and beside the ears to-many
ἑτερόῤῥοπα, καὶ ἐξ ἀμφοτέρων τοῖσι πλείστοισιν ἀπύροισιν
one-sided and on both to-the most fever-free
ὀρθοστάδην· ἔστι δὲ οἳ καὶ σμικρὰ ἐπεθερμαίνοντο·
upright there-are and who also slightly were-heated-besides
κατέσβη πᾶσιν ἀσινέως· οὐδ' ἐξεπύησεν οὐδενὶ, ὥσπερ τὰ
it-was-quenched in-all harmlessly nor suppurated in-none as the
ἐξ ἄλλων προφασίων. Ἦν δὲ ὁ τρόπος αὐτέων, χαῦνα,
from other causes Was and the manner of-them soft
μεγάλα, κεχυμένα, οὐ μετὰ φλεγμονῆς, ἀνώδυνα· πᾶσιν
large diffused not with inflammation painless in-all
ἀσήμως ἠφανίσθη. Ἐγένετο δὲ ταῦτα μειρακίοισιν ἐοῦσιν,
without-sign it-vanished Happened and these to-lads being
ἀκμάζουσι, καὶ τουτέων τοῖσι περὶ παλαίστρην καὶ γυμνάσια
in-their-prime and of-these to-those about wrestling-school and gymnasia
πλείστοισιν· γυναιξὶ δὲ ὀλίγῃσιν ἐγένετο. Πολλοῖσι δὲ βῆχες
most to-women but few it-happened To-many and coughs
ξηραὶ, βήσσουσι καὶ οὐδὲν ἀνάγουσι, καὶ φωναὶ βραγχώδεες.
dry coughing and nothing bringing-up and voices hoarse
Οὐ μετὰ πουλὺ, τοῖσι δὲ καὶ μετὰ χρόνον, φλεγμοναὶ μετ'
Not after much to-some and also after time inflammations with
ὀδύνης ἐς ὄρχιν ἑτερόῤῥοπαι, τοῖσι δὲ ἐς ἀμφοτέρους· πυρετοὶ
pain to testicle one-sided to-some and to both fevers
τοῖσι μὲν, τοῖσι δ' οὔ· ἐπιπόνως ταῦτα τοῖσι πλείστοισιν·
to-some indeed to-some and not painfully these to-the most
τὰ δ' ἄλλα, ὁκόσα κατ' ἰητρεῖον, ἀνόσως διῆγον.
the but other-things whatever in surgery without-illness they-passed

2 Πρωΐ δὲ τοῦ θέρεος ἀρξαμένου, καὶ διὰ θέρεος καὶ κατὰ
Early and the summer having-begun and through summer and in
χειμῶνα, πολλοὶ τῶν ἤδη πουλὺν χρόνον ὑποφερομένων
winter many of-those already long time declining

φθινώδεες κατεκλίθησαν· ἐπεὶ καὶ τοῖσιν ἐνδοιαστῶς ἔχουσι,
consumptive took-to-bed since also in-those doubtfully being
πολλοῖσιν ἐβεβαίωσε τότε· ἔστι δ' οἷσιν ἤρξατο πρῶτον
many it-confirmed then there-are and in-whom it-began first
τότε, οἷσιν ἔῤῥεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδες. Ἀπέθανον δὲ
then in-whom inclined the nature toward the consumptive Died and
πολλοὶ καὶ πλεῖστοι τουτέων· καὶ τῶν κατακλιθέντων οὐκ
many and most of-these and of-those having-taken-to-bed not
οἶδ' εἴ τις καὶ μέτριον χρόνον περιεγένετο· ἀπέθνησκον δὲ
I-know if anyone even moderate time survived they-died and
ὀξυτέρως, ἢ ὡς εἴθισται διάγειν τὰ τοιαῦτα. Ὡς τά γε
more-quickly than as it-is-usual to-last the such-things As the at-least
ἄλλα καὶ μακρότερα, καὶ ἐν πυρετοῖσιν ἐόντα, εὐφόρως
other and longer and in fevers being easily
ἤνεγκαν, καὶ οὐκ ἀπέθνησκον, περὶ ὧν γεγράψεται. Μοῦνον
they-bore and not died about which it-shall-be-written Alone
γὰρ καὶ μέγιστον τῶν τότε γενομένων νουσημάτων τοὺς
for and greatest of-the then occurring illnesses the
πολλοὺς τὸ φθινῶδες ἔκτεινεν. Ἦν δὲ τοῖσι πλείστοισιν
many the consumption killed Were and to-the most
αὐτέων τὰ παθήματα τοιάδε· φρικώδεες πυρετοὶ, ξυνεχέες,
of-them the sufferings such shivery fevers continuous
ὀξέες, τὸ μὲν ὅλον οὐ διαλείποντες· ὁ δὲ τρόπος,
acute the indeed whole not intermitting the and manner
ἡμιτριταῖος· τὴν μὲν κουφότεροι, τῇ δ' ἑτέρῃ
semitertian on-one(-day) indeed lighter on-the and other
ἐπιπαροξυνόμενοι, καὶ τὸ ὅλον ἐπὶ τὸ ὀξύτερον ἐπιδιδόντες·
exacerbated and the whole toward the sharper advancing
ἱδρῶτες δὲ αἰεὶ, οὐ δι' ὅλου· ψύξις ἀκρέων πολλὴ, καὶ
sweats and always not through whole chilling of-extremities much and

μόλις ἀναθερμαινόμενα· κοιλίαι ταραχώδεες, χολώδεσιν,
hardly warming-again bowels disturbed with-bilious
ὀλίγοισιν, ἀκρήτοισι, λεπτοῖσι, δακνώδεσι, πυκνὰ ἀνίσταντο.
scanty unmixed thin biting often they-rose
Οὖρα δὲ ἦν λεπτὰ καὶ ἄχροα, καὶ ἄπεπτα, καὶ ὀλίγα,
Urines and were thin and colorless and unconcocted and scanty
ἢ πάχος ἔχοντα καὶ σμικρὴν ὑπόστασιν, οὐ καλῶς
or thickness having and small sediment not well
καθιστάμενα, ἀλλ' ὠμῇ τινι καὶ ἀκαίρῳ ὑποστάσει.
settling but with-raw some and untimely sediment
Ἔβησσον δὲ σμικρὰ, πυκνὰ, πέπονα, κατ' ὀλίγον μόλις
They-coughed and small frequent ripe by little hardly
ἀνάγοντες· οἷσι δὲ τὰ βιαιότατα ξυμπίπτοι, οὐδ' ἐς ὀλίγον
bringing-up to-whom and the most-violent befell not-even to little
πεπασμὸν ἦει, ἀλλὰ διετέλεον ὠμὰ πτύοντες. Φάρυγγες
ripening it-went but they-continued raw spitting Throats
δὲ τοῖσι πλείστοισι τούτων ἐξ ἀρχῆς καὶ διὰ τέλεος
and to-the most of-these from beginning and through end
ἐπώδυνον εἶχον· ἔρευθος μετὰ φλεγμονῆς· ῥεύματα σμικρὰ,
painful had redness with inflammation fluxes small
λεπτὰ, δριμέα· ταχὺ τηκόμενοι καὶ κακούμενοι· ἀπόσιτοι
thin acrid quickly wasting and worsening without-appetite
πάντων γευμάτων διὰ τέλεος· ἄδιψοι· καὶ παράληροι
for-all foods through end thirstless and delirious
πουλλοὶ περὶ θάνατον· περὶ μὲν τὰ φθινώδεα, ταῦτα.
many about death about indeed the consumptive these
3 Κατὰ δὲ θέρος ἤδη καὶ φθινόπωρον, πυρετοὶ πουλλοὶ,
In and summer already and autumn fevers many
ξυνεχέες, οὐ βίαιοι· μακρὰ δὲ νοσέουσιν, οὐδὲ περὶ
continuous not violent long but to-those-ill nor about
τὰ ἄλλα δυσφόρως διάγουσιν ἐγένοντο. Κοιλίαι τε
the other-things uneasily passing occurred Bowels and

ταραχώδεες τοῖσι πλείστοισι πάνυ εὐφόρως, καὶ οὐδὲν
disturbed to-the most very easily and nothing
ἄξιον λόγου προσέβλαπτον· οὖρά τε τοῖσι πλείστοισιν,
worthy of-mention harmed-besides urines and to-the most
εὔχροα μὲν, καὶ καθαρὰ, λεπτὰ δὲ, καὶ μετὰ χρόνον περὶ
well-colored indeed and clear thin but and after time about
κρίσιν πεπαινόμενα. Βηχώδεες οὐ λίην· οὐδὲ τὰ βησσόμενα
crisis ripening Coughing not much nor the things-coughed
δυσκόλως· οὐδ' ἀπόσιτοι, ἀλλὰ καὶ διδόναι πάνυ ἐνεδέχετο
with-difficulty nor without-appetite but even to-give quite it-was-possible
(τὸ μὲν ὅλον ὑπενόσεον οἱ φθινώδεες, οὐ τὸν φθινώδεα
the indeed whole were-somewhat-ill the consumptive not the consumptive
τρόπον). Πυρετοῖσι φρικώδεσι σμικρὰ ἐφιδροῦντες, ἄλλοτε
manner With-fevers shivery slightly sweating at-one-time
ἀλλοίως παροξυνόμενοι πεπλανημένως, τὸ μὲν ὅλον,
differently exacerbated erratically the indeed whole
οὐκ ἐκλείποντες, παροξυνόμενοι δὲ τριταιοφυέα τρόπον.
not ceasing exacerbated and tertian-like manner
Ἐκρίνετο δὲ τουτέων, οἷσι τὰ βραχύτατα γένοιτο, περὶ
Reached-crisis and of-these to-whom the shortest happened about
εἰκοστὴν ἡμέρην, τοῖσι δὲ πλείστοισι περὶ τεσσαρακοστὴν,
twentieth day to-the and most about fortieth
πολλοῖσι δὲ περὶ ὀγδοηκοστήν. Ἔστι δὲ οἷσιν, οὐδ'
to-many and about eightieth There-are and in-whom not-even
οὕτως, ἀλλὰ πεπλανημένως καὶ ἀκρίτως ἐξέλιπον· τουτέων
so but erratically and without-crisis they-ceased of-these
δὲ τοῖσι πλείστοισιν οὐ πουλὺν διαλείποντες χρόνον,
and to-the most not long intermitting time
ὑπέστρεψαν οἱ πυρετοὶ πάλιν· ἐκ δὲ τῶν ὑποστροφέων
returned the fevers again from and the relapses
ἐν τῇσιν αὐτῇσι περιόδοισιν ἐκρίνοντο· πολλοῖσι δὲ
in the same periods they-reached-crisis to-many and

he-slept he-vomited bilious yellow urines like night
δι᾽ ἡσυχίης· ὕπνωσεν. Τρίτῃ, ὑφῆκε πάντα· ῥᾳστώνη
in quiet he-slept On-the-third abated all ease
δὲ ἦν· περὶ ἡλίου δυσμὰς πάλιν ὑπεδυσφόρει·
and was about of-sun setting again he-was-somewhat-distressed
νύκτα ἐπιπόνως. Τετάρτῃ, ῥῖγος· πυρετὸς πουλύς· πόνοι
night painfully On-the-fourth rigor fever much pains

πάντων· οὖρα λεπτὰ, ἐναιώρημα· νύκτα πάλιν δι᾽
of-all urines thin suspended-matter night again in
ἡσυχίης. Πέμπτῃ, ἐνῆν μὲν πάντα, ῥᾳστώνη δὲ ἦν.
quiet On-the-fifth were-present indeed all ease but was
Ἕκτῃ, τῶν αὐτῶν πόνοι πάντων· οὔροισιν ἐναιώρημα·
On-the-sixth of-the same pains of-all in-urines suspended-matter
παρέκρουσε πολλά. Ἑβδόμῃ, ῥᾳστώνη. Ὀγδόῃ, τὰ
he-wandered much On-the-seventh ease On-the-eighth the
ἄλλα ξυνέδωκε πάντα. Δεκάτῃ καὶ τὰς ἑπομένας
other(-things) abated all On-the-tenth and the following
ἐνῆσαν μὲν οἱ πόνοι, ἧσσον δὲ πάντες· οἱ δὲ
were-present indeed the pains less but all the and
παροξυσμοὶ καὶ οἱ πόνοι τουτέῳ διὰ τέλεος ἐν ἀρτίῃσιν
exacerbations and the pains to-him through end on even(-days)
ἦσαν μᾶλλον. Εἰκοστῇ, οὔρησε λευκὸν, πάχος εἶχε,
were more On-the-twentieth he-urinated white thickness it-had
κείμενον οὐ καθίστατο· ἴδρωσε πολλῷ· ἔδοξεν ἄπυρος
standing not it-settled he-sweated much he-seemed fever-free
γενέσθαι· δείλης δὲ πάλιν ἐθερμάνθη, καὶ οἱ αὐτοὶ
to-become in-the-afternoon but again he-grew-hot and the same
πόνοι· φρίκη· δίψα· σμικρὰ παρέκρουσεν. Εἰκοστῇ
pains shivering thirst slightly he-wandered On-the-twenty
τετάρτῃ, οὔρησε πουλὺ λευκὸν, πουλλὴν ὑπόστασιν ἔχον·
fourth he-urinated much white much sediment having
ἴδρωσε πολλῷ θερμῷ δι᾽ ὅλου· ἄπυρος· ἐκρίθη.
he-sweated much hot through whole fever-free he-reached-crisis
ϡΧΔΙΚΔΥ.
(sigla:recovered)

Ἄῤῥωστος ἑνδέκατος.

Patient eleventh

Ἐν Θάσῳ γυνὴ δυσήνιος, ἐκ λύπης μετὰ προφάσιος
In Thasos a-woman morose from grief with cause
ὀρθοστάδην ἐγένετο ἄγρυπνός τε καὶ ἄσιτος, καὶ διψώδης
upright became sleepless both and without-food and thirsty
ἦν καὶ ἀσώδης. Ὤκει δὲ πλησίον τοῦ Πυλάδου, ἐπὶ
she-was and nauseous She-lived and near the of-Pylades on
τοῦ λείου. Τῇ πρώτῃ, ἀρχομένης νυκτὸς, φόβοι, λόγοι
the level(-ground) On-the first beginning night fears words
πουλλοὶ, δυσθυμίη, πυρέτιον λεπτόν· πρωΐ σπασμοὶ πολλοί·
many despondency little-fever slight early convulsions many
ὅτε δὲ διαλίποιεν οἱ σπασμοὶ οἱ πολλοὶ, παρέλεγεν,
when and they-intermitted the convulsions the many she-raved
ᾐσχρομύθει· πολλοὶ πόνοι, μεγάλοι, ξυνεχέες. Δευτέρῃ,
she-spoke-obscenely many pains great continuous On-the-second
διὰ τῶν αὐτῶν· οὐδὲν ἐκοιμᾶτο· πυρετὸς ὀξύτερος.
through the same not-at-all she-slept fever more-acute
Τρίτῃ, οἱ μὲν σπασμοὶ ἀπέλιπον· κῶμα δὲ, καὶ
On-the-third the indeed convulsions left coma but and
καταφορὴ, καὶ πάλιν ἔγερσις· ἀνήϊσσε, κατέχειν οὐκ
lethargy and again waking she-leapt-up to-restrain not
ἠδύνατο, παρέλεγε πολλά· πυρετὸς ὀξύς· ἐς νύκτα
she-could she-raved much fever acute toward night
δὲ ταύτην ἵδρωσε πολλῷ θερμῷ δι᾽ ὅλου· ἄπυρος·
and this she-sweated much hot through whole fever-free
ὕπνωσε, πάντα κατενόει, ἐκρίθη. Περὶ δὲ τὴν τρίτην
she-slept all she-was-lucid she-reached-crisis About and the third
ἡμέρην, οὖρα μέλανα, λεπτὰ, ἐναιώρημα δὲ ἐπὶ πουλὺ
day urines black thin suspended-matter and for much

στρογγύλον, οὐχ ἵδρυτο· περὶ δὲ κρίσιν γυναικεῖα πουλλὰ
round not settled about and crisis menses copious
κατέβη.
came-down

Ἄῤῥωστος δωδέκατος.
Patient twelfth

Ἐν Λαρίσσῃ παρθένον πυρετὸς ἔλαβε, καυσώδης, ὀξύς·
In Larissa a-maiden fever took ardent acute
ἄγρυπνος· διψώδης· γλῶσσα λιγνυώδης, ξηρή· οὖρα
sleepless thirsty tongue sooty dry urines
εὔχροα μὲν, λεπτὰ δέ. Δευτέρῃ, ἐπιπόνως· οὐχ ὕπνωσεν.
well-colored indeed thin but On-the-second painfully not she-slept
Τρίτῃ, πουλλὰ διῆλθεν ἀπὸ κοιλίης, ὑδατόχλοα, καὶ
On-the-third much passed from belly watery-green and
τὰς ἑπομένας διῄει τοιαῦτα εὐφόρως. Τετάρτῃ, οὔρησε
the following passed such comfortably On-the-fourth she-urinated
λεπτὸν ὀλίγον, εἶχεν ἐναιώρημα μετέωρον, οὐχ ἵδρυτο·
thin scanty it-had suspended-matter high not settled
παρέκρουσεν ἐς νύκτα. Ἕκτῃ, διὰ ῥινῶν λαῦρον
she-wandered toward night On-the-sixth through nostrils violently
ἐῤῥύη πουλύ· φρίξασα, ἵδρωσε πολλῷ θερμῷ δι᾽
flowed much having-shivered she-sweated much hot through
ὅλου· ἄπυρος· ἐκρίθη. Ἐν δὲ τοῖσι πυρετοῖσι, καὶ
whole fever-free she-reached-crisis In and the fevers and
ἤδη κεκριμένων, γυναικεῖα κατέβη τότε πρῶτον·
already having-reached-crisis menses came-down then first
παρθένος γὰρ ἦν. Ἦν δὲ διὰ παντὸς ἀσώδης,
maiden for she-was She-was and through all nauseous
φρικώδης· ἔρευθος προσώπου· ὀμμάτων ὀδύνη· καρηβαρική.
shivering redness of-face of-eyes pain heavy-headed

Ταύτῃ οὐχ ὑπέστρεψεν, ἀλλ' ἐκρίθη. Οἱ πόνοι ἐν
To-her not it-relapsed but she-reached-crisis The pains on
ἀρτίῃσιν.
even(-days)
Ἄῤῥωστος τρισκαιδέκατος.
Patient thirteenth
Ἀπολλώνιος ἐν Ἀβδήροισιν ὀρθοστάδην ὑπεφέρετο χρόνον
Apollonius in Abdera upright held-out time
πουλύν. Ἦν δὲ μεγαλόσπλαγχνος, καὶ περὶ ἧπαρ ξυνήθης
long He-was and large-viscered and about liver habitual
ὀδύνη χρόνον πουλὺν παρείπετο, καὶ δὴ τότε καὶ
pain time long accompanied and indeed then also
ἰκτερώδης ἐγένετο· φυσώδης· χροιῆς τῆς ὑπολεύκου.
jaundiced he-became windy of-complexion the whitish
Φαγὼν δὲ, καὶ πιὼν ἀκαιρότερον βόειον, ἐθερμάνθη
Having-eaten but and having-drunk rather-unseasonably beef he-grew-hot
σμικρὰ τὸ πρῶτον, κατεκλίθη· γάλαξι δὲ χρησάμενος
slightly the first he-took-to-bed milks and having-used
ἑφθοῖσι καὶ ὠμοῖσι, πολλοῖσιν, αἰγείοισι καὶ μηλείοισι,
boiled and raw much goats' and sheep's
καὶ διαίτῃ κακῇ, πάντων αἱ βλάβαι μεγάλαι· οἵ τε γὰρ
and regimen bad of-all the harms great the both for
πυρετοὶ παρωξύνθησαν, κοιλίη τε τῶν προσενεχθέντων
fevers were-exacerbated belly and of-the things-administered
οὐδὲν διέδωκεν ἄξιον λόγου, οὖρά τε λεπτὰ καὶ ὀλίγα
nothing passed worthy of-mention urines and thin and scanty
διῄει, ὕπνοι τε οὐκ ἐνῆσαν· ἐμφύσημα κακόν· πουλὺ
passed sleeps and not were-present distension bad much
δίψος· κωματώδης· ὑποχονδρίου δεξιοῦ ἔπαρμα ξὺν
thirst comatose of-hypochondrium right swelling with
ὀδύνῃ· ἄκρεα πάντοθεν ὑπόψυχρα· σμικρὰ παρέλεγεν·
pain extremities all-over coldish slightly he-raved

λήθη πάντων, ὅ τι λέγοι· παρεφέρετο. Περὶ δὲ
forgetfulness of-all what — he-said he-was-carried-astray About and
τεσσαρεσκαιδεκάτην, ἀφ' ἧς ῥιγώσας ἀπεθερμάνθη
fourteenth from which having-had-a-rigor he-grew-hot
καὶ κατεκλίθη, ἐξεμάνη· βοὴ, ταραχὴ, λόγοι πολλοὶ,
and took-to-bed he-went-mad shouting disturbance words many
καὶ πάλιν ἵδρυσις, καὶ τὸ κῶμα τηνικαῦτα προσῆλθεν·
and again settling and the coma then came-on
μετὰ δὲ ταῦτα κοιλίη ταραχώδης, πολλοῖσι, χολώδεσιν,
after and these belly disturbed with-copious bilious
ἀκρήτοισι, ὠμοῖσιν· οὖρα μέλανα, σμικρὰ, λεπτά· πουλλὴ
unmixed raw urines black scanty thin much
δυσφορίη· τὰ τῶν διαχωρημάτων ποικίλως· ἢ γὰρ
distress the of-the stools variously either for
μέλανα καὶ σμικρὰ καὶ ἰώδεα, ἢ λιπαρὰ καὶ ὠμὰ
black and small and verdigris-colored or greasy and raw
καὶ δακνώδεα· κατὰ δὲ χρόνους ἐδόκεε καὶ γαλακτώδεα
and biting at and times it-seemed also milky
διδόναι.
to-pass

Περὶ δὲ εἰκοστὴν τετάρτην, διὰ παρηγορίης· τὰ μὲν
About and twentieth fourth in relief the indeed
ἄλλα ἐπὶ τῶν αὐτῶν· σμικρὰ δὲ κατενόησεν· ἐξ
others at the same slightly but he-became-lucid from
οὗ δὲ κατεκλίθη, οὐδενὸς ἐμνήσθη, πάλιν δὲ ταχὺ
when and he-took-to-bed nothing he-remembered again but quickly
παρενόει· ὥρμητο πάντα ἐπὶ τὸ χεῖρον. Περὶ δὲ
he-was-deranged it-rushed all toward the worse About and
τριηκοστὴν, πυρετὸς ὀξύς· διαχωρήματα πουλλὰ, λεπτά·
thirtieth fever acute stools copious thin
παράληρος· ἄκρεα ψυχρά· ἄφωνος. Τριηκοστῇ τετάρτῃ,
delirious extremities cold speechless On-the-thirty fourth

ἀπέθανεν. Τουτέῳ διὰ τέλεος, ἐξ οὗ καὶ ἐγὼ οἶδα,
he-died To-him through end from when also I know
κοιλίη ταραχώδης· οὖρα λεπτὰ, μέλανα· κωματώδης·
belly disturbed urines thin black comatose
ἄγρυπνος· ἄκρεα ψυχρά· παράληρος διὰ τέλεος.
sleepless extremities cold delirious through end

Φρενιτικός.

Phrenitic

Ἄῤῥωστος τεσσαρεσκαιδέκατος.

Patient fourteenth

Ἐν Κυζίκῳ γυναικὶ θυγατέρας τεκούσῃ διδύμους,
In Cyzicus to-a-woman daughters having-borne twin
καὶ δυστοκησάσῃ, καὶ οὐ πάνυ καθαρθείσῃ, τὸ μὲν
and having-bad-hard-labor and not quite purged the indeed
πρῶτον ἐπῆλθε πυρετὸς φρικώδης, ὀξύς· κεφαλῆς
first came-on fever shivering acute of-head
καὶ τραχήλου βάρος μετ᾽ ὀδύνης· ἄγρυπνος ἐξ
and of-neck heaviness with pain sleepless from
ἀρχῆς, σιγῶσα δὲ καὶ σκυθρωπὴ καὶ οὐ πειθομένη·
beginning silent but and sullen and not obeying
οὖρα λεπτὰ καὶ ἄχροα· διψώδης, ἀσώδης τὸ
urines thin and colorless thirsty nauseous for-the
πουλύ· κοιλίη πεπλανημένως, ταραχώδης, καὶ πάλιν
most belly erratically disturbed and again
ξυνισταμένη. Ἕκτῃ, ἐς νύκτα πουλλὰ παρέλεγεν·
becoming-firm On-the-sixth toward night much she-raved
οὐδὲν ἐκοιμήθη. Περὶ δὲ ἑνδεκάτην ἐοῦσα, ἐξεμάνη,
not-at-all she-slept About and eleventh being she-went-mad
καὶ πάλιν κατενόει· οὖρα μέλανα, λεπτὰ, καὶ πάλιν
and again was-lucid urines black thin and again
διαλείποντα, ἐλαιώδεα· καὶ κοιλίη πολλοῖσι, λεπτοῖσι,
intermitting oily and belly with-copious thin

ταραχώδεσιν. Τεσσαρεσκαιδεκάτῃ, σπασμοὶ πουλλοί·
disturbed On-the-fourteenth convulsions many
ἄκρεα ψυχρά· οὐδὲν ἔτι κατενόει· οὖρα ἐπέστη.
extremities cold not-at-all any-more she-was-lucid urines stopped
Ἑκκαιδεκάτῃ, ἄφωνος. Ἑπτακαιδεκάτῃ, ἀπέθανεν. Φρενῖτις.
On-the-sixteenth speechless On-the-seventeenth she-died Phrenitis
ϡΜΤΙΖΘ.
(sigla:died)
Ἄῤῥωστος πεντεκαιδέκατος.
Patient fifteenth
Ἐν Θάσῳ Δεάλκους γυναῖκα, ἣ κατέκειτο ἐπὶ τοῦ
In Thasos of-Dealces wife who lay-sick on the
λείου, πυρετὸς φρικώδης, ὀξὺς, ἐκ λύπης ἔλαβεν.
level(-ground) fever shivering acute from grief took
Ἐξ ἀρχῆς δὲ περιεστέλλετο, καὶ διὰ τέλεος αἰεί·
From beginning and she-wrapped-herself-up and through end always
σιγῶσα, ἐψηλάφα, ἔτιλλεν, ἔγλυφεν, ἐτριχολόγει· δάκρυα,
silent she-groped she-plucked she-scratched she-picked-at-hairs tears
καὶ πάλιν γέλως· οὐκ ἐκοιμᾶτο· ἀπὸ κοιλίης ἐρεθισμοὶ,
and again laughter not she-slept from belly stimulations
οὐδὲν διῄει· σμικρὰ, ὑπομιμνησκόντων, ἔπινεν· οὖρα
nothing passed small those-reminding she-drank urines
λεπτὰ, σμικρά· πυρετοὶ πρὸς χεῖρα λεπτοί· ἀκρέων
thin scanty fevers to hand slight of-extremities
ψύξις. Ἐνάτῃ, πολλὰ παρέλεγε, καὶ πάλιν ἱδρύνθη·
chill On-the-ninth much she-raved and again was-settled
σιγῶσα. Τεσσαρεσκαιδεκάτῃ, πνεῦμα ἀραιὸν, μέγα,
silent On-the-fourteenth breath rare large
διὰ χρόνου, καὶ πάλιν βραχύπνοος. Ἑπτακαιδεκάτῃ,
at intervals and again short-breathed On-the-seventeenth
ἀπὸ κοιλίης ἐρεθισμῷ ταραχώδεα· ἔπειτα αὐτὰ
from belly with-stimulus disturbed then themselves

τὰ ποτὰ διῄει, οὐδὲ ξυνίστατο· ἀναισθήτως εἶχε
the drinks passed nor became-firm insensibly she-was
πάντων· δέρματος περίτασις καρφαλέου. Εἰκοστῇ, λόγοι
of-all of-skin tension dry On-the-twentieth words
πουλλοὶ, καὶ πάλιν ἱδρύνθη· ἄφωνος, βραχύπνοος.
many and again she-was-settled speechless short-breathed
Εἰκοστῇ πρώτῃ, ἀπέθανεν. Ἦν ταύτῃ διὰ τέλεος
On-the-twenty first she-died Was to-her through end
πνεῦμα ἀραιὸν, μέγα· ἀναισθήτως πάντων εἶχεν· αἰεὶ
breath rare large insensibly of-all she-was always
περιεστέλλετο· ἢ λόγοι πουλλοὶ, ἢ σιγῶσα διὰ τέλεος.
she-wrapped-herself-up either words many or silent through end

Φρενῖτις.

Phrenitis

Ἀῤῥωστος ἑκκαιδέκατος.

Patient sixteenth

Ἐν Μελιβοίῃ νεηνίσκος ἐκ ποτῶν καὶ ἀφροδισίων
In Meliboea a-youth from drinks and sex
πολλῶν πουλὺν χρόνον θερμανθεὶς κατεκλίθη· φρικώδης
much long time having-grown-hot took-to-bed shivering
δὲ καὶ ἀσώδης ἦν, καὶ ἄγρυπνος, καὶ ἄδιψος. Ἀπὸ
but and nauseous he-was and sleepless and thirstless From
δὲ κοιλίης τῇ πρώτῃ πολλὰ κόπρανα διῆλθε ξὺν
and belly on-the first much feces passed with
περιῤῥόῳ πολλῷ, καὶ τὰς ἑπομένας ὑδατόχλοα πολλὰ
flux much and the following watery-green much
διῄει· οὖρα λεπτὰ, ὀλίγα, ἄχροα· πνεῦμα ἀραιὸν,
passed urines thin scanty colorless breath rare
μέγα, διὰ χρόνου· ὑποχονδρίου ἔντασις ὑπολάπαρος,
large at intervals of-hypochondrium tension softish
παραμήκης ἐξ ἀμφοτέρων· καρδίης παλμὸς, διὰ
elongated on both(-sides) of-heart throbbing through

τέλεος ξυνεχής· οὔρησεν ἐλαιῶδες. Δεκάτῃ, παρέκρουσεν
end continuous he-urinated oily On-the-tenth he-wandered
ἀτρεμέως, ἦν δὲ κόσμιός τε καὶ ἥσυχος· δέρμα
quietly he-was and orderly both and quiet skin
καρφαλέον καὶ περιτεταμένον· διαχωρήματα ἢ
dry and stretched stools either
πολλὰ, λεπτὰ, ἢ χολώδεα, λιπαρά. Τεσσαρεσκαιδεκάτῃ,
copious thin or bilious greasy On-the-fourteenth
πάντα παρωξύνθη· παρεκρούσθη, πολλὰ παρέλεγεν.
all was-exacerbated he-was-deranged much he-raved
Εἰκοστῇ, ἐξεμάνη· βληστρισμός· οὐδὲν οὖρει· σμικρὰ
On-the-twentieth he-went-mad tossing nothing he-urinated small
ποτὰ κατείχετο. Τῇ εἰκοστῇ τετάρτῃ, ἀπέθανεν.
drinks were-kept-down On-the twenty fourth he-died
Φρενῖτις.
Phrenitis

HIPPOCRATES

ΑΦΟΡΙΣΜΟΙ

Aphorisms

ΑΦΟΡΙΣΜΟΙ. ΤΜΗΜΑ ΠΡΩΤΟΝ

I · LIFE IS SHORT

Life is short, the art long, the moment sharp, experiment perilous, judgment difficult. Spontaneous purging helps when it purges what ought to be purged. Athletes at their peak are in danger, since they cannot advance. Strict diets are dangerous in long diseases and in acute ones, and errors in them cost more; at the height of a disease the thinnest diet is needed. The old bear fasting best and children worst, since growing bodies hold the most innate heat and need the most food. Do not disturb a crisis; purge ripe matter, not raw.

Ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, ὁ δὲ καιρὸς ὀξὺς, 1
The life short the and art long the and occasion sharp
ἡ δὲ πεῖρα σφαλερὴ, ἡ δὲ κρίσις χαλεπή. Δεῖ δὲ
the and experiment perilous the and judgment difficult One-must and
οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιεῦντα, ἀλλὰ
not only oneself to-present the needful-things doing but
καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν.
also the patient and the ones-present and the outside(-things)
Ἐν τῇσι ταραχῇσι τῆς κοιλίης, καὶ ἐμέτοισι, τοῖσιν 2
In the disturbances of-the belly and vomitings the
αὐτομάτως γιγνομένοισιν, ἢν μὲν, οἷα δεῖ καθαίρεσθαι,
spontaneously happening if indeed such-as must be-purged
καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν· ἢν δὲ
they-are-purged it-benefits both and easily they-bear(-it) if but
μὴ, τοὐναντίον. Οὕτω δὲ καὶ κενεαγγείη, ἢν μὲν, οἷα δεῖ
not the-contrary So and also emptiness if indeed such-as must
γίγνεσθαι, γίγνηται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν·
happen it-happen it-benefits both and easily they-bear(-it)
ἢν δὲ μὴ, τοὐναντίον. Ἐπιβλέπειν οὖν δεῖ καὶ χώρην,
if but not the-contrary To-regard then one-must also region
καὶ ὥρην, καὶ ἡλικίην, καὶ νούσους, ἐν ᾗσι δεῖ, ἢ οὔ.
and season and age and diseases in which it-is-needful or not

3 Ἐν τοῖσι γυμναστικοῖσιν αἱ ἐπ᾽ ἄκρον εὐεξίαι σφαλεραὶ,
In the athletes the at peak good-conditions perilous
ἢν ἐν τῷ ἐσχάτῳ ἔωσιν· οὐ γὰρ δύνανται μένειν ἐν
if at the extreme they-be not for they-can to-remain in
τῷ αὐτέῳ, οὐδὲ ἀτρεμέειν· ἐπεὶ δὲ οὐκ ἀτρεμέουσιν,
the same nor to-rest since and not they-rest
οὐδ᾽ ἔτι δύνανται ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι, λείπεται
nor any-more can toward the better to-advance it-remains
ἐπὶ τὸ χεῖρον· τουτέων οὖν εἵνεκεν τὴν εὐεξίην λύειν
toward the worse of-these then for-the-sake the good-condition to-reduce
ξυμφέρει μὴ βραδέως, ἵνα πάλιν ἀρχὴν ἀναθρέψιος
it-benefits not slowly so-that again beginning of-renourishment
λαμβάνῃ τὸ σῶμα· μηδὲ τὰς ξυμπτώσιας ἐς τὸ ἔσχατον
may-take the body nor the reductions to the extreme
ἄγειν, σφαλερὸν γὰρ, ἀλλ᾽ ὁκοίη ἂν ἡ φύσις ᾖ τοῦ
to-carry perilous for but whatever — the nature be of-the
μέλλοντος ὑπομένειν, ἐς τοῦτο ἄγειν. Ὡσαύτως δὲ καὶ
one-going to-endure to this to-carry Likewise and also
αἱ κενώσιες αἱ ἐς τὸ ἔσχατον ἄγουσαι, σφαλεραί· καὶ
the evacuations the to the extreme carrying perilous and
πάλιν αἱ ἀναθρέψιες, αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι, σφαλεραί.
again the renourishments the at the extreme being perilous
4 Αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται, καὶ ἐν τοῖσι μακροῖσιν
The thin and strict diets both in the long
αἰεὶ πάθεσι, καὶ ἐν τοῖσιν ὀξέσιν, οὗ μὴ ἐπιδέχεται,
always affections and in the acute where not it-admits
σφαλεραί. Καὶ πάλιν αἱ ἐς τὸ ἔσχατον λεπτότητος
perilous And again the to the extreme of-thinness
ἀφιγμέναι δίαιται, χαλεπαί· καὶ γὰρ αἱ πληρώσιες, αἱ ἐν
having-come diets difficult and for the repletions the at
τῷ ἐσχάτῳ ἐοῦσαι, χαλεπαί.
the extreme being difficult

Ἐν τῇσι λεπτῇσι διαίτῃσιν ἁμαρτάνουσιν οἱ νοσέοντες, 5
In the thin diets err the patients
διὸ μᾶλλον βλάπτονται· πᾶν γὰρ τὸ ἁμάρτημα ὃ
wherefore more they-are-harmed every for the error which
ἂν γίνηται, μέγα γίνεται μᾶλλον, ἢ ἐν τῇσιν ὀλίγον
— happens great becomes more than in the slightly
ἁδροτέρῃσι διαίτῃσιν· διὰ τοῦτο καὶ τοῖσιν ὑγιαίνουσι
fuller diets because-of this also for-the healthy
σφαλεραὶ αἱ πάνυ λεπταὶ καὶ καθεστηκυῖαι καὶ ἀκριβέες
perilous the very thin and settled and strict
δίαιται, ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσιν.
diets because the errors more-hardly they-bear
Διὰ τοῦτο οὖν αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται, σφαλεραὶ
Because-of this then the thin and strict diets perilous
ἐς τὰ πλεῖστα τῶν σμικρῷ ἁδροτέρων.
for the most than-the slightly fuller
Ἐς δὲ τὰ ἔσχατα νουσήματα αἱ ἔσχαται θεραπεῖαι ἐς 6
For and the extreme illnesses the extreme treatments to
ἀκριβείην, κράτισται.
exactness best
Ὅκου μὲν κάτοξυ τὸ νούσημα, αὐτίκα καὶ τοὺς 7
Where indeed very-acute the illness at-once also the
ἐσχάτους πόνους ἔχει, καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ
extreme pains it-has and the extremely thinnest diet
ἀναγκαῖον χρέεσθαι· ὅκου δὲ μὴ, ἀλλ' ἐνδέχεται ἁδροτέρως
necessary to-use where but not but it-admits more-fully
διαιτᾶν, τοσοῦτον ὑποκαταβαίνειν, ὁκόσον ἂν ἡ νοῦσος
to-diet so-much to-come-down as-much-as — the disease
μαλθακωτέρη τῶν ἐσχάτων ἔῃ.
milder than-the extremes be

8 Ὁκόταν δὲ ἀκμάζῃ τὸ νούσημα, τότε λεπτοτάτῃ διαίτῃ
Whenever and peaks the illness then thinnest diet
ἀναγκαῖον χρέεσθαι.
necessary to-use

9 Ξυντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα, εἰ
To-judge-besides and one-must also the patient whether
ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νούσου, καὶ
he-will-hold-out on-the diet to the peak of-the disease and
πότερον ἐκεῖνος ἀπαυδήσει πρότερον, καὶ οὐκ ἐξαρκέσει τῇ
whether he will-give-out first and not will-hold-out on-the
διαίτῃ, ἢ ἡ νοῦσος πρότερον ἀπαυδήσει καὶ ἀμβλυνεῖται.
diet or the disease first will-give-out and will-be-blunted

10 Ὁκόσοισι μὲν οὖν αὐτίκα ἡ ἀκμὴ, αὐτίκα λεπτῶς
For-whom indeed then at-once the peak at-once thinly
διαιτῆν· ὁκόσοισι δὲ ἐς ὕστερον ἡ ἀκμὴ, ἐς ἐκεῖνο, καὶ
to-diet for-whom but to later the peak to that and
πρὸ ἐκείνου σμικρὸν, ἀφαιρετέον· ἔμπροσθεν δὲ, πιοτέρως
before that a-little one-must-take-away earlier but more-richly
διαιτῆν, ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων.
to-diet so-that — may-hold-out the patient

11 Ἐν δὲ τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή· τὸ
In and the exacerbations to-withhold one-must the
προστιθέναι γὰρ βλάβη· καὶ ὁκόσα κατὰ περιόδους
to-add for harm and whatever by periods
παροξύνεται, ἐν τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή.
is-exacerbated in the exacerbations to-withhold one-must

12 Τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ
The and exacerbations and the constitutions will-show the
νοῦσοι, καὶ αἱ ὧραι τοῦ ἔτεος, καὶ αἱ τῶν περιόδων πρὸς
diseases and the seasons of-the year and the of-the periods to
ἀλλήλας ἀνταποδόσιες, ἤν τε καθ' ἡμέρην, ἤν τε παρ'
one-another correspondences if both by day if and every-other

ἡμέρην, ἤν τε καὶ διὰ πλείονος χρόνου γίγνωνται· ἀτὰρ
day if and also at longer time they-happen but
καὶ τοῖσιν ἐπιφαινομένοισιν, οἷον ἐν πλευριτικοῖσι πτύελον
also by-the appearing(-signs) such-as in pleurisies sputum
ἢν μὲν αὐτίκα ἐπιφαίνηται, ἀρχομένου, βραχύνει, ἢν δ'
if indeed at-once it-appear beginning it-shortens if but
ὕστερον ἐπιφαίνηται, μηκύνει· καὶ οὖρα καὶ ὑποχωρήματα
later it-appear it-lengthens and urines and stools
καὶ ἱδρῶτες, καὶ δύσκριτα καὶ εὔκριτα, καὶ βραχέα καὶ
and sweats and difficult-crises and easy-crises and short and
μακρὰ τὰ νοσήματα, ἐπιφαινόμενα, δηλοῖ.
long the illnesses appearing show

Γέροντες εὐφορώτατα νηστείην φέρουσι, δεύτερον, οἱ 13
Old-men most-easily fasting bear second those
καθεστηκότες, ἥκιστα, μειράκια, πάντων δὲ μάλιστα,
of-settled-age least lads of-all and most
παιδία, τουτέων δὲ αὐτέων ἃ ἂν τύχῃ αὐτὰ ἑωυτέων
children of-these and themselves which — happen themselves than-themselves
προθυμότερα ἐόντα.
more-eager being

Τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν· πλείστης 14
The growing most have the innate heat most
οὖν δεῖται τροφῆς· εἰ δὲ μὴ, τὸ σῶμα ἀναλίσκεται·
then they-need food if but not the body is-consumed
γέρουσι δὲ ὀλίγον τὸ θερμὸν, διὰ τοῦτο ἄρα ὀλίγων
in-old-men but little the heat because-of this then few
ὑπεκκαυμάτων δέονται· ὑπὸ πολλῶν γὰρ ἀποσβέννυται·
fuels they-need by many for it-is-quenched
διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖσι γέρουσιν οὐχ ὁμοίως
because-of this also the fevers in-the old not equally
ὀξέες· ψυχρὸν γὰρ τὸ σῶμα.
acute cold for the body

15 Αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει, καὶ
The bellies in-winter and in-spring hottest by-nature and
ὕπνοι μακρότατοι· ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσι, καὶ τὰ
sleeps longest in these then the seasons also the
προσάρματα πλείω δοτέον· καὶ γὰρ τὸ ἔμφυτον θερμὸν
foods more one-must-give and for the innate heat
πλεῖστον ἔχει· τροφῆς οὖν πλείονος δεῖται· σημεῖον, αἱ
most it-has food then more it-needs sign the
ἡλικίαι καὶ οἱ ἀθληταί.
ages and the athletes

16 Αἱ ὑγραὶ δίαιται πᾶσι τοῖσι πυρεταίνουσι ξυμφέρουσι,
The liquid diets to-all the feverish benefit
μάλιστα δὲ παιδίοισι, καὶ τοῖσιν ἄλλοισι τοῖσιν οὕτως
most and to-children and to-the others the so
εἰθισμένοισι διαιτᾶσθαι.
accustomed to-be-dieted

17 Καὶ οἷσιν ἅπαξ, ἢ δὶς, καὶ πλείω ἢ ἐλάσσω, καὶ κατὰ
And to-whom once or twice and more or less and by
μέρος· δοτέον δέ τι καὶ τῷ ἔθει, καὶ τῇ ὥρῃ,
part one-must-give and something also to-the custom and to-the season
καὶ τῇ χώρῃ, καὶ τῇ ἡλικίῃ.
and to-the region and to-the age

18 Θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι,
In-summer and in-autumn foods most-hardly they-bear
χειμῶνος ῥᾴϊστα, ἦρος δεύτερον.
in-winter most-easily in-spring second

19 Τοῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισι μηδὲν διδόναι,
To-those in the periods exacerbated nothing to-give
μηδ' ἀναγκάζειν, ἀλλ' ἀφαιρέειν τῶν προσθεσίων πρὸ
nor to-force but to-take-away from-the additions before
τῶν κρισίων.
the crises

Τὰ κρινόμενα καὶ τὰ κεκριμένα ἀρτίως, μὴ κινέειν, 20
The reaching-crisis and the having-reached-crisis just not to-disturb
μηδὲ νεωτεροποιέειν, μήτε φαρμακείῃσι, μήτ' ἄλλοισιν
nor to-innovate neither with-purgings nor with-other
ἐρεθισμοῖσιν, ἀλλ' ἐᾷν.
stimulants but to-leave-alone
Ἃ δεῖ ἄγειν, ὅκου ἂν μάλιστα ῥέπῃ, ταύτῃ ἄγειν, 21
What one-must to-evacuate where — most it-tends there to-evacuate
διὰ τῶν ξυμφερόντων χωρίων.
through the suitable places
Πέπονα φαρμακεύειν καὶ κινέειν, μὴ ὠμὰ, μηδὲ ἐν ἀρχῇσιν, 22
Ripe-things to-purge and to-move not raw nor in beginnings
ἢν μὴ ὀργᾷ· τὰ δὲ πλεῖστα οὐκ ὀργᾷ.
if not it-be-turgid the but most not are-turgid
Τὰ χωρέοντα μὴ τῷ πλήθει τεκμαίρεσθαι, ἀλλ' ὡς ἂν 23
The things-evacuated not by-the quantity to-judge but as —
χωρέῃ οἷα δεῖ, καὶ φέρῃ εὐφόρως· καὶ ὅκου δεῖ μέχρι
they-pass such-as must and he-bear easily and where one-must until
λειποθυμίης ἄγειν, καὶ τοῦτο ποιέειν, ἢν ἐξαρκέῃ ὁ νοσέων.
fainting to-evacuate also this to-do if holds-out the patient
Ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι 24
In the acute affections rarely and in beginnings the
φαρμακείῃσι χρέεσθαι, καὶ τοῦτο προεξευκρινήσαντα ποιέειν.
purgings to-use and this having-first-examined to-do
Ἢν, οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται, ξυμφέρει τε, καὶ 25
If such-as must be-purged they-are-purged it-benefits both and
εὐφόρως φέρουσιν· τὰ δ' ἐναντία, δυσχερῶς.
easily they-bear the but contraries with-difficulty

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ

II · SLEEP, FOOD, AND CHANGE

A disease in which sleep causes pain is deadly; sleep that ends delirium is good. Neither surfeit nor hunger is good beyond what is natural. Unclean bodies are harmed the more they are fed. Acute diseases reach crisis in fourteen days, and the fourth day points to the seventh. Fainting often without cause foretells sudden death, and the very fat die sooner than the lean. Accustomed labors are borne more easily, even by the weak and old, than unaccustomed ones by the strong. All sudden change is dangerous, and change by degrees is safe.

1 Ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιέει, θανάσιμον· ἢν δὲ
In which illness sleep pain makes deadly if but
ὕπνος ὠφελέῃ, οὐ θανάσιμον.
sleep help not deadly

2 Ὅκου παραφροσύνην ὕπνος παύει, ἀγαθόν.
Where delirium sleep stops good

3 Ὕπνος, ἀγρυπνίη, ἀμφότερα τοῦ μετρίου μᾶλλον
Sleep sleeplessness both than-the measure more
γενόμενα, κακόν.
happening bad

4 Οὐ πλησμονὴ, οὐ λιμὸς, οὐδ' ἄλλο οὐδὲν ἀγαθὸν, ὅ τι
Not surfeit not hunger nor other anything good what —
ἂν μᾶλλον τῆς φύσιος ᾖ.
— more than-the nature be

5 Κόποι αὐτόματοι φράζουσι νούσους.
Fatigues spontaneous indicate diseases

6 Ὁκόσοι, πονέοντές τι τοῦ σώματος, τὰ πολλὰ τῶν
As-many-as aching some(-part) of-the body the most of-the
πόνων οὐκ αἰσθάνονται, τουτέοισιν ἡ γνώμη νοσέει.
pains not perceive to-these the mind is-sick

Τὰ ἐν πολλῷ χρόνῳ λεπτυνόμενα σώματα νωθρῶς 7
The in much time thinned bodies slowly
ἐπανατρέφειν, τὰ δὲ ἐν ὀλίγῳ, ὀλίγως.
to-renourish the but in little briefly

Ἢν ἐκ νούσου τροφὴν λαμβάνων τις μὴ ἰσχύῃ, σημαίνει 8
If from disease food taking someone not be-strong it-signifies
ὅτι πλείονι τροφῇ τὸ σῶμα χρέεται· ἢν δὲ, τροφὴν μὴ
that more food the body uses if but food not
λαμβάνοντος, τοῦτο γίγνηται, χρὴ εἰδέναι, ὅτι κενώσιος
of-one-taking this happen one-must know that of-evacuation
δεῖται.
it-needs

Τὰ σώματα χρὴ, ὅκου τις βούλεται καθαίρειν, εὖροα 9
The bodies one-must where one wishes to-purge free-flowing
ποιέειν.
to-make

Τὰ μὴ καθαρὰ τῶν σωμάτων, ὁκόσῳ ἂν θρέψῃς μᾶλλον, 10
The not clean of-the bodies by-how-much — you-nourish more
βλάψεις.
you-will-harm

Ῥᾷον πληροῦσθαι ποτοῦ, ἢ σιτίου. 11
Easier to-be-filled with-drink than with-food

Τὰ ἐγκαταλιμπανόμενα ἐν τῇσι νούσοισι μετὰ κρίσιν, 12
The things-left-behind in the diseases after crisis
ὑποστροφὰς ποιέειν εἴωθεν.
relapses to-make are-wont

Ὁκόσοισι κρίσις γίνεται, τουτέοισιν ἡ νὺξ δύσφορος, ἡ 13
To-whom crisis happens to-these the night uncomfortable the
πρὸ τοῦ παροξυσμοῦ, ἡ δὲ ἐπιοῦσα εὐφορωτέρη ὡς ἐπὶ
before the exacerbation the but following more-comfortable as for
τὸ πουλύ.
the most

14 Ἐν τῇσι τῆς κοιλίης ῥύσεσιν αἱ μεταβολαὶ τῶν
In the of-the belly fluxes the changes of-the
διαχωρημάτων ὠφελέουσιν, ἢν μὴ ἐς τὰ πονηρὰ
stools help if not to the bad
μεταβάλλῃ.
it-change

15 Ὅκου φάρυγξ νοσέει, ἢ φύματα ἐν τῷ σώματι ἐκφύεται,
Where throat is-sick or growths on the body grow
τὰς ἐκκρίσιας σκέπτεσθαι· ἢν γὰρ χολώδεες ἔωσι, τὸ
the excretions to-examine if for bilious they-be the
σῶμα ξυννοσέει· ἢν δὲ ὅμοιαι τοῖσιν ὑγιαίνουσι γίγνωνται,
body is-sick-too if but like to-the healthy they-be
ἀσφαλὲς τὸ σῶμα τρέφειν.
safe the body to-nourish

16 Ὅκου λιμὸς, οὐ δεῖ πονέειν.
Where hunger not one-must to-labor

17 Ὅκου ἂν τροφὴ πλείων παρὰ φύσιν ἐσέλθῃ, τοῦτο νοῦσον
Where — food more beyond nature enters this disease
ποιέει, δηλοῖ δὲ ἡ ἴησις.
makes shows and the cure

18 Τῶν τρεφόντων ἀθρόως καὶ ταχέως, ταχεῖαι καὶ αἱ
Of-those nourishing in-quantity and quickly quick also the
διαχωρήσιες γίνονται.
evacuations become

19 Τῶν ὀξέων νοσημάτων οὐ πάμπαν ἀσφαλέες αἱ
Of-the acute illnesses not altogether safe the
προδιαγορεύσιες, οὔτε τοῦ θανάτου, οὔτε τῆς ὑγιείης.
predictions neither of-the death nor of-the health

20 Ὁκόσοισι νέοισιν ἐοῦσιν αἱ κοιλίαι ὑγραί εἰσι, τουτέοισιν
To-whom young being the bellies loose are to-these
ἀπογηράσκουσι ξηραίνονται· ὁκόσοισι δὲ νέοισιν ἐοῦσιν αἱ
growing-old they-dry to-whom but young being the

κοιλίαι ξηραί εἰσι, τουτέοισι πρεσβυτέροισι γινομένοισιν
bellies dry are to-these older becoming
ὑγραίνονται.
they-loosen

Λιμὸν θώρηξις λύει. 21
Hunger strong-drink cures

Ἀπὸ πλησμονῆς ὁκόσα ἂν νοσήματα γένηται, κένωσις 22
From surfeit whatever — illnesses happen evacuation
ἰῆται, καὶ ὁκόσα ἀπὸ κενώσιος, πλησμονὴ, καὶ τῶν ἄλλων
cures and whatever from evacuation surfeit and of-the others
ἡ ὑπεναντίωσις.
the opposition

Τὰ ὀξέα τῶν νουσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα 23
The acute of-the illnesses reach-crisis in fourteen
ἡμέρῃσιν.
days

Τῶν ἑπτὰ ἡ τετάρτη ἐπίδηλος· ἑτέρης ἑβδομάδος ἡ 24
Of-the seven the fourth indicative of-the-other week the
ὀγδόη ἀρχὴ, θεωρητὴ δὲ ἡ ἑνδεκάτη, αὕτη γάρ ἐστι
eighth beginning to-be-watched and the eleventh this for is
τετάρτη τῆς ἑτέρης ἑβδομάδος· θεωρητὴ δὲ πάλιν ἡ
fourth of-the other week to-be-watched and again the
ἑπτακαιδεκάτη, αὕτη γάρ ἐστι τετάρτη μὲν ἀπὸ τῆς
seventeenth this for is fourth indeed from the
τεσσαρεσκαιδεκάτης, ἑβδόμη δὲ ἀπὸ τῆς ἑνδεκάτης.
fourteenth seventh and from the eleventh

Οἱ θερινοὶ τεταρταῖοι τὰ πολλὰ γίνονται βραχέες, οἱ δὲ 25
The summer quartans for-the most become short the but
φθινοπωρινοὶ, μακροὶ, καὶ μάλιστα οἱ πρὸς τὸν χειμῶνα
autumn long and most the toward the winter
ξυνάπτοντες.
bordering

26 Πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι, ἢ σπασμὸν ἐπὶ
Fever upon convulsion better to-happen than convulsion upon
πυρετῷ.
fever

27 Τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν οὐ δεῖ πιστεύειν,
To-those not according-to reason relieving not one-must to-trust
οὐδὲ φοβέεσθαι λίην τὰ μοχθηρὰ γινόμενα παραλόγως·
nor to-fear too-much the bad-things happening unreasonably
τὰ γὰρ πολλὰ τῶν τοιουτέων ἐστὶν ἀβέβαια, καὶ οὐ
the for most of-the such are unstable and not
πάνυ τι διαμένειν, οὐδὲ χρονίζειν εἴωθεν.
at-all — to-remain nor to-last are-wont

28 Τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως, τὸ
Of-those feverish not altogether superficially the
διαμένειν, καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα, ἢ καὶ συντήκεσθαι
to-persist and nothing to-yield the body or even to-waste
μᾶλλον τοῦ κατὰ λόγον, μοχθηρόν· τὸ μὲν γὰρ
more than-the according-to reason bad the indeed for
μῆκος νούσου σημαίνει, τὸ δὲ, ἀσθένειαν.
length of-disease signifies the but weakness

29 Ἀρχομένων τῶν νούσων, ἤν τι δοκέῃ κινέειν, κίνει·
Beginning the diseases if anything seem to-move move
ἀκμαζουσῶν δὲ, ἡσυχίην ἔχειν βέλτιόν ἐστιν.
at-peak but rest to-have better it-is

30 Περὶ τὰς ἀρχὰς καὶ τὰ τέλη, πάντα ἀσθενέστατα, περὶ
About the beginnings and the ends all weakest about
δὲ τὰς ἀκμὰς, ἰσχυρότατα.
but the peaks strongest

31 Τῷ ἐξ ἀῤῥωστίης εὐσιτεῦντι, μηδὲν ἐπιδιδόναι τὸ σῶμα,
To-the from illness eating-well nothing to-gain the body
μοχθηρόν.
bad

Ὡς τὰ πολλὰ πάντες οἱ φαύλως ἔχοντες, κατ᾽ ἀρχὰς 32
As for-the most all those badly being at beginnings
μὲν εὐσιτεῦντες, καὶ μηδὲν ἐπιδιδόντες, πρὸς τῷ τέλει
indeed eating-well and nothing gaining toward the end
πάλιν ἀσιτέουσιν· οἱ δὲ κατ᾽ ἀρχὰς μὲν ἀσιτεῦντες
again lose-appetite those but at beginnings indeed without-appetite
ἰσχυρῶς, ὕστερον δὲ εὐσιτεῦντες, βέλτιον ἀπαλλάσσουσιν.
strongly later but eating-well better get-off
Ἐν πάσῃ νούσῳ τὸ ἐῤῥῶσθαι τὴν διάνοιαν, καὶ εὖ ἔχειν 33
In every disease the to-be-strong the mind and well to-be
πρὸς τὰς προσφορὰς, ἀγαθόν· τὸ δὲ ἐναντίον, κακόν.
toward the foods good the but contrary bad
Ἐν τῇσι νούσοισιν ἧσσον κινδυνεύουσιν, οἷσιν ἂν οἰκείη τῆς 34
In the diseases less are-in-danger to-whom — akin to-the
φύσιος, καὶ τῆς ἕξιος, καὶ τῆς ἡλικίης, καὶ τῆς ὥρης ἡ
nature and the constitution and the age and the season the
νοῦσος ᾖ μᾶλλον, ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων ᾖ.
disease be more than to-whom — not akin in some of-these be
Ἐν πάσῃσι τῇσι νούσοισι, τὰ περὶ τὸν ὀμφαλὸν καὶ τὸ 35
In all the diseases the about the navel and the
ἦτρον πάχος ἔχειν βέλτιόν ἐστι, τὸ δὲ σφόδρα λεπτὸν
lower-belly thickness to-have better is the but very thin
καὶ ἐκτετηκὸς, μοχθηρόν· ἐπισφαλὲς δὲ τὸ τοιοῦτον καὶ
and wasted bad hazardous but the such also
πρὸς τὰς κάτω καθάρσιας.
for the downward purgings
Οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα, ἐν τῇσι φαρμακείῃσι 36
Those healthily having the bodies in the purgings
καθαιρόμενοι ἐκλύονται ταχέως, καὶ οἱ πονηρῇ τροφῇ
being-purged faint quickly and those bad food
χρεόμενοι.
using

37 Οἱ εὖ τὰ σώματα ἔχοντες, φαρμακεύεσθαι ἐργώδεες.
Those well the bodies having to-be-purged troublesome

38 Τὸ σμικρῷ χεῖρον καὶ πόμα καὶ σιτίον, ἥδιον δὲ, τῶν
The slightly worse both drink and food pleasanter but than-the
βελτιόνων μὲν, ἀηδεστέρων δὲ, μᾶλλον αἱρετέον.
better indeed less-pleasant but rather one-must-choose

39 Οἱ πρεσβῦται τῶν νέων τὰ μὲν πολλὰ νοσέουσιν ἧσσον·
The old than-the young the indeed most are-ill less
ὅσα δ' ἂν αὐτέοισι χρόνια νοσήματα γένηται, τὰ
whatever but — to-them chronic illnesses happen for-the
πολλὰ ξυναποθνήσκει.
most die-with-them

40 Βράγχοι καὶ κόρυζαι τοῖσι σφόδρα πρεσβύτῃσιν οὐ
Hoarsenesses and colds in-the very old not
πεπαίνονται.
ripen

41 Οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυρῶς, ἄνευ φανερῆς
Those fainting often and strongly without evident
προφάσιος, ἐξαπίνης τελευτῶσιν.
cause suddenly die

42 Λύειν ἀποπληξίην ἰσχυρὴν μὲν ἀδύνατον, ἀσθενέα δὲ, οὐ
To-cure apoplexy strong indeed impossible weak but not
ῥηϊδιον.
easy

43 Τῶν ἀπαγχομένων καὶ καταλυομένων, μηδέπω δὲ
Of-those hanged and losing-consciousness not-yet but
τεθνηκότων, οὐκ ἀναφέρουσιν, οἷσιν ἂν ἀφρὸς ᾖ περὶ τὸ
having-died not recover to-whom — foam be about the
στόμα.
mouth

Οἱ παχέες σφόδρα κατὰ φύσιν, ταχυθάνατοι γίνονται 44
Those fat very by nature quick-dying become
μᾶλλον τῶν ἰσχνῶν.
more than-the lean

Τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν ἀπαλλαγὴν αἱ μεταβολαὶ 45
Of-the epileptics to-the young deliverance the changes
μάλιστα τῆς ἡλικίης, καὶ τῶν χωρίων, καὶ τῶν βίων
most of-the age and of-the places and of-the lives
ποιέουσιν.
make

Δύο πόνων ἅμα γινομένων μὴ κατὰ τὸν αὐτὸν τόπον, ὁ 46
Two pains at-once happening not in the same place the
σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον.
stronger obscures the other

Περὶ τὰς γενέσιας τοῦ πύου οἱ πόνοι καὶ οἱ πυρετοὶ 47
About the formations of-the pus the pains and the fevers
ξυμβαίνουσι μᾶλλον, ἢ γενομένου.
happen more than having-formed

Ἐν πάσῃ κινήσει τοῦ σώματος, ὁκόταν ἄρχηται πονέειν, 48
In every movement of-the body whenever it-begins to-tire
τὸ διαναπαύειν εὐθὺς, ἄκοπον.
the to-rest at-once relieving-fatigue

Οἱ εἰθισμένοι τοὺς ξυνήθεας πόνους φέρειν, κἢν ὦσιν 49
Those accustomed the habitual labors to-bear even-if they-be
ἀσθενέες ἢ γέροντες, τῶν ἀξυνηθέων ἰσχυρῶν τε καὶ
weak or old than-the unaccustomed strong both and
νέων ῥᾷον φέρουσιν.
young more-easily bear

50 Τὰ ἐκ πολλοῦ χρόνου ξυνήθεα, κἂν ᾖ χείρω τῶν
The from long time habitual even-if they-be worse than-the
ἀξυνηθέων, ἧσσον ἐνοχλεῖν εἴωθεν· δεῖ δὲ καὶ ἐς τὰ
unaccustomed less to-trouble are-wont one-must but also to the
ἀξυνήθεα μεταβάλλειν.
unaccustomed to-change

51 Τὸ κατὰ πολὺ καὶ ἐξαπίνης κενοῦν, ἢ πληροῦν, ἢ θερμαίνειν,
The in much and suddenly to-empty or to-fill or to-heat
ἢ ψύχειν, ἢ ἄλλως ὁκωσοῦν τὸ σῶμα κινέειν, σφαλερὸν,
or to-chill or otherwise in-any-way the body to-move perilous
καὶ πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον· τὸ δὲ κατ᾽ ὀλίγον,
and all the much to-the nature hostile the but by little
ἀσφαλὲς, καὶ ἄλλως, ἤν τις ἐξ ἑτέρου ἐφ᾽ ἕτερον μεταβαίνῃ.
safe and otherwise if one from one to another change

52 Πάντα κατὰ λόγον ποιέοντι, μὴ γινομένων τῶν
All according-to reason to-one-doing not happening the-things
κατὰ λόγον, μὴ μεταβαίνειν ἐφ᾽ ἕτερον, μένοντος τοῦ
according-to reason not to-change to another remaining the
δόξαντος ἐξ ἀρχῆς.
decided from beginning

53 Ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσιν, νέοι μὲν ἐόντες,
As-many-as the bellies loose have young indeed being
βέλτιον ἀπαλλάσσουσι τῶν ξηρὰς ἐχόντων, ἐς δὲ τὸ
better get-off than-those dry having into but the
γῆρας χεῖρον ἀπαλλάσσουσιν· ξηραίνονται γὰρ ὡς ἐπὶ τὸ
old-age worse get-off they-dry for as for the
πουλὺ ἀπογηράσκουσιν.
most growing-old

Μεγέθει δὲ σώματος, ἐννεάσαι μὲν, ἐλευθέριον καὶ οὐκ 54
In-size and of-body to-be-young indeed gentlemanly and not
ἀηδές· ἐγγηρᾶσαι δὲ, δύσχρηστον καὶ χεῖρον τῶν
unpleasant to-grow-old but troublesome and worse than-the
ἐλασσόνων.
smaller

ΤΜΗΜΑ ΤΡΙΤΟΝ

III · SEASONS AND AGES

Changes of season beget diseases, and the weather of each year shapes its illnesses: south winds dull the hearing and weigh the head, and north winds bring coughs and sore throats. Droughts are healthier than wet years. Each season has its own diseases: madness and coughs in spring, fevers and diarrhea in summer, quartans and dropsies in autumn, and pleurisies in winter. Each age has its own as well, from aphthae in infants to catarrhs and dimness of sight in the old.

Αἱ μεταβολαὶ τῶν ὡρέων μάλιστα τίκτουσι νουσήματα, 1
The changes of-the seasons most beget illnesses
καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταλλαγαὶ ἢ ψύξιος
and in the seasons the great changes either of-cold
ἢ θάλψιος, καὶ τἆλλα κατὰ λόγον οὕτως.
or of-heat and the-rest according-to reason so
Τῶν φυσίων αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα 2
Of-the natures some indeed toward summer some but toward winter
εὖ ἢ κακῶς πεφύκασιν.
well or badly are-constituted
Τῶν νούσων ἄλλαι πρὸς ἄλλας εὖ ἢ κακῶς πεφύκασι, 3
Of-the diseases some toward others well or badly are-constituted
καὶ ἡλικίαι τινὲς πρὸς ὥρας, καὶ χώρας, καὶ διαίτας.
and ages some toward seasons and regions and regimens

4 Ἐν τῇσιν ὥρῃσιν, ὅταν τῆς αὐτῆς ἡμέρης ὁτὲ μὲν
In the seasons when on-the same day at-times indeed
θάλπος, ὁτὲ δὲ ψῦχος γένηται, φθινοπωρινὰ τὰ νουσήματα
heat at-times but cold happen autumnal the illnesses
προσδέχεσθαι χρή.
to-expect one-must

5 Νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοὶ, νωθροὶ,
South-winds dulling-hearing misty heavy-headed sluggish
διαλυτικοί· ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν
relaxing whenever this prevails such-things in the
ἀῤῥωστίῃσι πάσχουσιν. Ἢν δὲ βόρειον ᾖ, βῆχες,
illnesses they-suffer If but northerly it-be coughs
φάρυγγες, κοιλίαι σκληραὶ, δυσουρίαι φρικώδεες, ὀδύναι
throats bellies hard dysurias shiverings pains
πλευρέων, στηθέων· ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν
of-sides of-chests whenever this prevails such-things in
τῇσιν ἀῤῥωστίῃσι προσδέχεσθαι χρή.
the illnesses to-expect one-must

6 Ὁκόταν θέρος γένηται ἦρι ὅμοιον, ἱδρῶτας ἐν τοῖσι
Whenever summer becomes to-spring like sweats in the
πυρετοῖσι πολλοὺς προσδέχεσθαι χρή.
fevers many to-expect one-must

7 Ἐν τοῖσιν αὐχμοῖσι πυρετοὶ ὀξέες γίνονται· καὶ ἢν μὲν
In the droughts fevers acute happen and if indeed
ἐπὶ πλέον ᾖ τὸ ἔτος τοιουτέον ἐὸν, οἵην τὴν κατάστασιν
for more be the year such being as the constitution
ἐποίησεν, ὡς ἐπιτοπουλὺ καὶ τὰ νουσήματα τοιαῦτα δεῖ
it-made as for-the-most-part also the illnesses such one-must
προσδέχεσθαι.
to-expect

Ἐν τοῖσι καθεστεῶσι καιροῖσι, καὶ ὡραίως τὰ ὡραῖα 8
In the settled times and seasonably the seasonable(-things)
ἀποδιδοῦσιν, εὐσταθέες καὶ εὐκρινέες αἱ νοῦσοι γίνονται,
they-render steady and of-easy-crisis the diseases become
ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν ἀκατάστατοι καὶ δύσκριτοι.
in but the unsettled unsettled and difficult-crisis
Ἐν φθινοπώρῳ ὀξύταται αἱ νοῦσοι, καὶ θανατωδέσταται 9
In autumn most-acute the diseases and most-deadly
τοὐπίπαν, ἦρ δὲ ὑγιεινότατον, καὶ ἥκιστα θανατῶδες.
on-the-whole spring but healthiest and least deadly
Τὸ φθινόπωρον τοῖσι φθίνουσι κακόν. 10
The autumn to-the consumptives bad
Περὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος 11
About and the seasons if indeed the winter dry and northerly
γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη, τοῦ θέρεος,
be the but spring rainy and southerly necessarily in-the summer
πυρετοὺς ὀξέας, καὶ ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι,
fevers acute and ophthalmias and dysenteries to-happen
μάλιστα τῇσι γυναιξὶ, καὶ ἀνδρῶν τοῖσιν ὑγροῖσι τὰς φύσιας.
most to-the women and of-men to-the moist the natures
Ἢν δὲ νότιος ὁ χειμὼν καὶ ἔπομβρος καὶ εὐδιεινὸς 12
If but southerly the winter and rainy and calm
γένηται, τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ βόρειον, αἱ μὲν
be the but spring dry and northerly the indeed
γυναῖκες, ᾗσιν οἱ τόκοι πρὸς τὸ ἦρ, ἐκ πάσης προφάσιος
women whose the births toward the spring from every cause
ἐκτιτρώσκουσιν· αἳ δ' ἂν τέκωσιν, ἀκρατέα καὶ νοσώδεα
miscarry who but — bear feeble and sickly
τὰ παιδία τίκτουσιν, ὥστε ἢ παραυτίκα ἀπόλλυσθαι,
the children bear so-that either at-once to-perish
ἢ λεπτὰ καὶ νοσώδεα ζῆν ἐόντα· τοῖσι δὲ ἄλλοισι
or thin and sickly to-live being to-the but other

βροτοῖσι δυσεντερίαι καὶ ὀφθαλμίαι ξηραὶ γίνονται, τοῖσι
mortals dysenteries and ophthalmias dry happen to-the
δὲ πρεσβυτέροισι κατάῤῥοοι ξυντόμως ἀπολλύντες.
but older catarrhs quickly destroying

13 Ἢν δὲ τὸ θέρος αὐχμηρὸν καὶ βόρειον γένηται, τὸ δὲ
If and the summer dry and northerly be the but
φθινόπωρον ἔπομβρον καὶ νότιον, κεφαλαλγίαι ἐς τὸν
autumn rainy and southerly headaches into the
χειμῶνα γίνονται, καὶ βῆχες, καὶ βράγχοι, καὶ κόρυζαι,
winter happen and coughs and hoarsenesses and colds
ἐνίοισι δὲ καὶ φθίσιες.
to-some and also consumptions

14 Ἢν δὲ βόρειον ᾖ καὶ ἄνυδρον, τοῖσι μὲν ὑγροῖσι τὰς
If and northerly it-be and rainless to-the indeed moist the
φύσιας καὶ τῇσι γυναιξὶ ξύμφορον· τοῖσι δὲ λοιποῖσιν
natures and to-the women beneficial to-the but rest
ὀφθαλμίαι ἔσονται ξηραὶ, καὶ πυρετοὶ ὀξέες, καὶ κόρυζαι,
ophthalmias will-be dry and fevers acute and colds
ἐνίοισι δὲ καὶ μελαγχολίαι.
to-some and also melancholias

15 Τῶν δὲ καταστασίων τοῦ ἐνιαυτοῦ τὸ μὲν ὅλον οἱ αὐχμοὶ
Of-the and constitutions of-the year the indeed whole the droughts
τῶν ἐπομβριῶν εἰσιν ὑγιεινότεροι, καὶ ἧσσον θανατώδεες.
than-the rainy(-seasons) are healthier and less deadly

16 Νοσήματα δὲ ἐν μὲν τῇσιν ἐπομβρίῃσιν ὡς τὰ πολλὰ
Illnesses and in indeed the rainy(-seasons) as for-the most
γίνεται, πυρετοί τε μακροὶ, καὶ κοιλίης ῥύσιες, καὶ
happen fevers both long and of-belly fluxes and
σηπεδόνες, καὶ ἐπίληπτοι, καὶ ἀπόπληκτοι, καὶ κυνάγχαι·
putrefactions and epileptics and apoplectics and quinsies

ἐν δὲ τοῖσιν αὐχμοῖσι, φθινάδες, ὀφθαλμίαι, ἀρθρίτιδες,
in but the droughts consumptions ophthalmias arthritis
στραγγουρίαι, καὶ δυσεντερίαι.
stranguries and dysenteries

Αἱ δὲ καθ' ἡμέρην καταστάσιες, αἱ μὲν βόρειοι τά τε 17
The and by day constitutions the indeed northerly the both
σώματα ξυνιστᾶσι, καὶ εὔτονα καὶ εὐκίνητα καὶ εὔχροα
bodies brace and well-toned and agile and well-colored
καὶ εὐηκοώτερα ποιέουσι, καὶ τὰς κοιλίας ξηραίνουσι, καὶ
and better-hearing make and the bellies dry and
τὰ ὄμματα δάκνουσι, καὶ περὶ τὸν θώρηκα ἄλγημα ἤν τι
the eyes bite and about the chest pain if any
προϋπάρχῃ, μᾶλλον πονέουσιν· αἱ δὲ νότιοι διαλύουσι τὰ
preexist more they-ache the but southerly relax the
σώματα καὶ ὑγραίνουσι, καὶ βαρυηκοΐας καὶ καρηβαρίας
bodies and moisten and dullnesses-of-hearing and heavinesses-of-head
καὶ ἰλίγγους ποιέουσιν, ἐν δὲ τοῖσιν ὀφθαλμοῖσι καὶ τοῖσι
and dizzinesses make in and the eyes and the
σώμασι δυσκινησίην, καὶ τὰς κοιλίας ὑγραίνουσιν.
bodies sluggishness and the bellies moisten

Κατὰ δὲ τὰς ὥρας, τοῦ μὲν ἦρος καὶ ἄκρου τοῦ 18
In and the seasons in-the indeed spring and at-the-height of-the
θέρεος, οἱ παῖδες καὶ οἱ τουτέων ἐχόμενοι τῇσιν ἡλικίῃσιν,
summer the children and those of-these next in-the ages
ἄριστά τε διάγουσι, καὶ ὑγιαίνουσι μάλιστα· τοῦ δὲ θέρεος
best both pass and are-healthy most in-the but summer
καὶ τοῦ φθινοπώρου, μέχρι μέν τινος οἱ γέροντες· τὸ
and in-the autumn until indeed some(-point) the old the
δὲ λοιπὸν, καὶ τοῦ χειμῶνος, οἱ μέσοι τῇσιν ἡλικίῃσιν.
but rest and in-the winter those middle in-the ages

19 Νοσήματα δὲ πάντα μὲν ἐν πάσῃσι τῇσιν ὥρῃσι γίνεται,
Illnesses and all indeed in all the seasons happen
μᾶλλον δ' ἔνια κατ' ἐνίας αὐτέων καὶ γίνεται καὶ
more but some in some of-them both happen and
παροξύνεται.
are-exacerbated

20 Τοῦ μὲν γὰρ ἦρος, τὰ μανικὰ, καὶ τὰ μελαγχολικὰ, καὶ τὰ
In-the indeed for spring the maniac and the melancholic and the
ἐπιληπτικὰ, καὶ αἵματος ῥύσιες, καὶ κυνάγχαι, καὶ κόρυζαι,
epileptic and of-blood fluxes and quinsies and colds
καὶ βράγχοι, καὶ βῆχες, καὶ λέπραι, καὶ λειχῆνες, καὶ ἀλφοὶ,
and hoarsenesses and coughs and leprosies and lichens and white-spots
καὶ ἐξανθήσιες ἑλκώδεες πλεῖσται, καὶ φύματα, καὶ ἀρθριτικά.
and eruptions ulcerous most and growths and arthritic(-pains)

21 Τοῦ δὲ θέρεος, ἔνιά τε τουτέων, καὶ πυρετοὶ ξυνεχέες, καὶ
In-the and summer some both of-these and fevers continuous and
καῦσοι, καὶ τριταῖοι πλεῖστοι, καὶ ἔμετοι, καὶ διάῤῥοιαι,
ardent-fevers and tertians most and vomitings and diarrheas
καὶ ὀφθαλμίαι, καὶ ὦτων πόνοι, καὶ στομάτων ἑλκώσιες,
and ophthalmias and of-ears pains and of-mouths ulcerations
καὶ σηπεδόνες αἰδοίων, καὶ ἵδρωα.
and putrefactions of-privates and heat-rashes

22 Τοῦ δὲ φθινοπώρου, καὶ τῶν θερινῶν τὰ πολλὰ, καὶ
In-the and autumn also of-the summer(-ones) the most and
πυρετοὶ τεταρταῖοι, καὶ πλανῆτες, καὶ σπλῆνες, καὶ
fevers quartan and wandering and spleens and
ὕδρωπες, καὶ φθίσιες, καὶ στραγγουρίαι, καὶ λειεντερίαι, καὶ
dropsies and consumptions and stranguries and lienteries and
δυσεντερίαι, καὶ ἰσχιάδες, καὶ κυνάγχαι, καὶ ἄσθματα, καὶ
dysenteries and sciaticas and quinsies and asthmas and
εἰλεοὶ, καὶ ἐπιληψίαι, καὶ τὰ μανικὰ, καὶ τὰ μελαγχολικά.
ileuses and epilepsies and the maniac and the melancholic

Τοῦ δὲ χειμῶνος, πλευρίτιδες, περιπλευμονίαι, κόρυζαι, 23
In-the and winter pleurisies pneumonias colds
βράγχοι, βῆχες, πόνοι στηθέων, πόνοι πλευρέων, ὀσφύος,
hoarsenesses coughs pains of-chests pains of-sides of-loins
κεφαλαλγίαι, ἴλιγγοι, ἀποπληξίαι.
headaches dizzinesses apoplexies
Ἐν δὲ τῇσιν ἡλικίῃσι τοιάδε ξυμβαίνει· τοῖσι μὲν 24
In and the ages such-things happen to-the indeed
σμικροῖσι καὶ νεογνοῖσι παιδίοισιν, ἄφθαι, ἔμετοι, βῆχες,
small and new-born children aphthae vomitings coughs
ἀγρυπνίαι, φόβοι, ὀμφαλοῦ φλεγμοναὶ, ὦτων ὑγρότητες.
sleeplessnesses fears of-navel inflammations of-ears moistures
Πρὸς δὲ τὸ ὀδοντοφυέειν προσάγουσιν, οὔλων ὀδαξησμοὶ, 25
Toward and the teething approaching of-gums itchings
πυρετοὶ, σπασμοὶ, διάῤῥοιαι, καὶ μάλιστα ὅταν ἀνάγωσι
fevers convulsions diarrheas and most when they-cut
τοὺς κυνόδοντας, καὶ τοῖσι παχυτάτοισι τῶν παίδων, καὶ
the canines and to-the fattest of-the children and
τοῖσι σκληρὰς τὰς κοιλίας ἔχουσιν.
to-those hard the bellies having
Πρεσβυτέροισι δὲ γενομένοισι, παρίσθμια, σπονδύλου 26
To-older and becoming tonsillitis of-vertebra
τοῦ κατὰ τὸ ἰνίον εἴσω ὦσιες, ἄσθματα, λιθιάσιες,
the at the nape inward thrustings asthmas stones
ἕλμινθες στρογγύλαι, ἀσκαρίδες, ἀκροχορδόνες, σατυριασμοὶ,
worms round ascarides warts satyriasis
χοιράδες, καὶ τἄλλα φύματα, μάλιστα δὲ τὰ προειρημένα.
scrofulas and the-other growths most and the aforementioned

27 Τοῖσι δὲ ἔτι πρεσβυτέροισι καὶ πρὸς τὴν ἥβην προσάγουσι,
To-the and still older and toward the puberty approaching
τουτέων τε τὰ πολλὰ, καὶ πυρετοὶ χρόνιοι μᾶλλον, καὶ
of-these both the most and fevers chronic more and
ἐκ ῥινῶν αἵματος ῥύσιες.
from nostrils of-blood fluxes

28 Τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται, τὰ μὲν
Σπασμοὶ γίνονται, ἢ ὑπὸ πληρώσιος, ἢ κενώσιος· οὕτω 39
Convulsions happen either from repletion or evacuation so
δὲ καὶ λυγμός.
and also hiccup
Ὁκόσοισι περὶ τὸ ὑποχόνδριον πόνοι γίνονται ἄτερ 40
To-whom about the hypochondrium pains happen without
φλεγμονῆς, τουτέοισι πυρετὸς ἐπιγενόμενος λύει τὸν πόνον.
inflammation to-these fever supervening resolves the pain
Ὁκόσοισι διάπυόν τι ἐὸν ἐν τῷ σώματι μὴ διασημαίνει, 41
To-whom suppurated something being in the body not shows
τουτέοισι διὰ παχύτητα τοῦ τόπου οὐ διασημαίνει.
to-these because-of thickness of-the place not it-shows
Ἐν τοῖσιν ἰκτερικοῖσι τὸ ἦπαρ σκληρὸν γενέσθαι, πονηρόν. 42
In the jaundiced the liver hard to-become bad
Ὁκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τουτέοισιν, 43
As-many-as splenetic by dysentery are-seized to-these
ἐπιγενομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίνεται, ἢ
supervening long the dysentery dropsy supervenes or
λειεντερίη, καὶ ἀπόλλυνται.
lientery and they-perish
Ὁκόσοισιν ἐκ στραγγουρίης εἰλεοὶ γίνονται, ἐν ἑπτὰ 44
To-whom from strangury ileuses arise in seven
ἡμέρῃσιν ἀπόλλυνται, ἢν μὴ, πυρετοῦ ἐπιγενομένου, ἄλις
days perish if not fever supervening abundantly
τὸ οὖρον ῥυῇ.
the urine flow

45 Ἕλκεα ὁκόσα ἐνιαύσια γίνεται, ἢ μακρότερον χρόνον ἴσχει,
Sores whatever yearlong become or longer time last
ἀνάγκη ὀστέον ἀφίστασθαι, καὶ τὰς οὐλὰς κοίλας γίνεσθαι.
necessity bone to-come-away and the scars hollow to-become

46 Ὁκόσοι ὑβοὶ ἐξ ἄσθματος ἢ βηχὸς γίνονται πρὸ τῆς
As-many-as hunchbacked from asthma or cough become before the
ἥβης, ἀπόλλυνται.
puberty perish

47 Ὁκόσοισι φλεβοτομίη ἢ φαρμακείη ξυμφέρει, τουτέους
To-whom venesection or purging is-beneficial these
προσῆκον τοῦ ἦρος φλεβοτομεῖν, ἢ φαρμακεύειν.
it-is-fitting in-the spring to-bleed or to-purge

48 Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγενομένη, ἀγαθόν.
To-the splenetic dysentery supervening good

49 Ὁκόσα ποδαγρικὰ νουσήματα γίνεται, ταῦτα
Whatever gouty illnesses arise these
ἀποφλεγμήναντα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποκαθίσταται.
having-ceased-inflaming in forty days subside

50 Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος διακοπῇ, τουτέοισιν ἀνάγκη
To-whom — the brain be-cut to-these necessity
πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγίνεσθαι.
fever and of-bile vomiting to-supervene

51 Ὁκόσοισιν ὑγιαίνουσιν ὀδύναι γίνονται ἐξαίφνης ἐν τῇ
To-whom being-healthy pains arise suddenly in the
κεφαλῇ, καὶ παραχρῆμα ἄφωνοι κεῖνται, καὶ ῥέγκουσιν,
head and at-once speechless they-lie and snore
ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μὴ πυρετὸς ἐπιλάβῃ.
perish in seven days if not fever seize

52 Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν
To-observe and one-must also the underglimpses of-the eyes in
τοῖσιν ὕπνοισιν· ἢν γάρ τι ὑποφαίνηται, ξυμβαλλομένων
the sleeps if for anything show-beneath being-closed

τῶν βλεφάρων, τοῦ λευκοῦ μὴ ἐκ διαῤῥοίης ἐόντι ἢ
the eyelids of-the white not from diarrhea to-one-being or
φαρμακοποσίης, φλαῦρον τὸ σημεῖον καὶ θανατῶδες σφόδρα.
drinking-of-purge bad the sign and deadly very
Αἱ παραφροσύναι αἱ μὲν μετὰ γέλωτος γινόμεναι, 53
The deliriums the indeed with laughter happening
ἀσφαλέστεραι· αἱ δὲ μετὰ σπουδῆς, ἐπισφαλέστεραι.
safer the but with seriousness more-dangerous
Ἐν τοῖσιν ὀξέσι πάθεσι τοῖσι μετὰ πυρετοῦ αἱ κλαυθμώδεες 54
In the acute affections the with fever the weeping
ἀναπνοαὶ, κακαί.
breathings bad
Τὰ ποδαγρικὰ τοῦ ἦρος καὶ τοῦ φθινοπώρου κινέεται ὡς 55
The gouty(-diseases) in-the spring and in-the autumn are-stirred as
ἐπὶ τὸ πουλύ.
for the most
Τοῖσι μελαγχολικοῖσι νουσήμασιν ἐς τάδε ἐπικίνδυνοι αἱ 56
In-the melancholic illnesses to these dangerous the
ἀποσκήψιες· ἢ ἀπόπληξιν τοῦ σώματος, ἢ σπασμὸν, ἢ
determinations either apoplexy of-the body or convulsion or
μανίην, ἢ τύφλωσιν σημαίνουσιν.
madness or blindness they-signify
Ἀπόπληκτοι δὲ μάλιστα γίνονται ἡλικίῃ τῇ ἀπὸ 57
Apoplectic and most become in-age the from
τεσσαράκοντα ἐτέων ἄχρις ἑξήκοντα.
forty years until sixty
Ἢν ἐπίπλοον ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι. 58
If omentum fall-out necessity to-putrefy
Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισιν ἐξίσταται τὸ 59
To-whom by sciatica troubled is-dislocated the
ἰσχίον, καὶ πάλιν ἐμπίπτει, τουτέοισι μύξαι ἐπιγίνονται.
hip and again falls-in to-these mucus supervenes

60 Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης τὸ ἰσχίον
To-whom by sciatica troubled chronic the hip
ἐξίσταται, τουτέοισι τήκεται τὸ σκέλος, καὶ χωλοῦνται,
is-dislocated to-these wastes the leg and they-become-lame
ἢν μὴ καυθέωσιν.
if not they-be-cauterized

ΤΜΗΜΑ ΕΒΔΟΜΟΝ

VII · WHAT FOLLOWS WHAT

Chill of the extremities in acute disease is bad, and so is delirium after a blow to the head. Dropsy follows white phlegm, and dysentery follows diarrhea. The sediments and bubbles in the urine tell the length of a disease. A woman is never ambidextrous. What drugs do not cure, the knife cures; what the knife does not cure, fire cures; what fire does not cure must be held incurable.

1 Ἐν τοῖσιν ὀξέσι νουσήμασι ψύξις ἀκρωτηρίων,
In the acute illnesses chill of-extremities
κακόν.
bad

2 Ἐπὶ ὀστέῳ νοσέοντι σὰρξ πελιδνὴ, κακόν.
Upon bone diseased flesh livid bad

3 Ἐπὶ ἐμέτῳ λὺγξ καὶ ὀφθαλμοὶ ἐρυθροὶ, κακόν.
Upon vomiting hiccup and eyes red bad

4 Ἐπὶ ἱδρῶτι φρίκη, οὐ χρηστόν.
Upon sweat shivering not good

5 Ἐπὶ μανίῃ δυσεντερίη, ἢ ὕδρωψ, ἢ ἔκστασις,
Upon madness dysentery or dropsy or derangement
ἀγαθόν.
good

Ἐν νούσῳ πολυχρονίῃ ἀσιτίη καὶ ἄκρητοι ὑποχωρήσιες, 6
In disease chronic loss-of-appetite and unmixed evacuations
κακόν.
bad

Ἐκ πολυποσίης ῥῖγος καὶ παραφροσύνη, κακόν. 7
From heavy-drinking rigor and delirium bad

Ἐπὶ φύματος ἔσω ῥήξει ἔκλυσις, ἔμετος, καὶ λειποψυχίη 8
Upon of-growth inward rupture prostration vomiting and fainting
γίνεται.
happens

Ἐπὶ αἵματος ῥύσει παραφροσύνη ἢ σπασμὸς, 9
Upon of-blood flow delirium or convulsion
κακόν.
bad

Ἐπὶ εἰλεῷ ἔμετος, ἢ λὺγξ, ἢ σπασμὸς, ἢ παραφροσύνη, 10
Upon ileus vomiting or hiccup or convulsion or delirium
κακόν.
bad

Ἐπὶ πλευρίτιδι περιπλευμονίη, κακόν. 11
Upon pleurisy pneumonia bad

Ἐπὶ περιπλευμονίῃ φρενῖτις, κακόν. 12
Upon pneumonia phrenitis bad

Ἐπὶ καύμασιν ἰσχυροῖσι σπασμὸς ἢ τέτανος, 13
Upon burns severe convulsion or tetanus
κακόν.
bad

Ἐπὶ πληγῇ ἐς τὴν κεφαλὴν ἔκπληξις ἢ παραφροσύνη, 14
Upon blow to the head stupor or delirium
κακόν.
bad

Ἐπὶ αἵματος πτύσει, πύου πτύσις. 15
Upon of-blood spitting of-pus spitting

16 Ἐπὶ πύου πτύσει, φθίσις καὶ ῥύσις· ἐπὴν δὲ τὸ σίελον
Upon of-pus spitting consumption and flux when but the sputum
ἴσχηται, ἀποθνήσκουσιν.
be-checked they-die

17 Ἐπὶ φλεγμονῇ τοῦ ἥπατος λὺγξ, κακόν.
Upon inflammation of-the liver hiccup bad

18 Ἐπὶ ἀγρυπνίῃ σπασμὸς ἢ παραφροσύνη, κακόν.
Upon sleeplessness convulsion or delirium bad
Ἐπὶ ληθάργῳ τρόμος, κακόν.
Upon lethargy trembling bad

19 Ἐπὶ ὀστέου ψιλώσει, ἐρυσίπελας.
Upon of-bone laying-bare erysipelas

20 Ἐπὶ ἐρυσιπέλατι σηπεδὼν ἢ ἐκπύησις.
Upon erysipelas putrefaction or suppuration

21 Ἐπὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖσιν ἕλκεσιν, αἱμορῥαγίη.
Upon strong throbbing in the sores hemorrhage

22 Ἐπὶ ὀδύνῃ πολυχρονίῳ τῶν περὶ τὴν κοιλίην,
Upon pain long-lasting of-the about the belly
ἐκπύησις.
suppuration

23 Ἐπὶ ἀκρήτῳ ὑποχωρήσει, δυσεντερίη.
Upon unmixed evacuation dysentery

24 Ἐπὶ ὀστέου διακοπῇ, παραφροσύνη, ἢν κενεὸν
Upon of-bone cutting delirium if hollow
λάβῃ.
it-reach

25 Ἐκ φαρμακοποσίης σπασμὸς, θανατῶδες.
From drinking-of-purge convulsion deadly

26 Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην, ἀκρωτηρίων
Upon pain severe of-the about the belly of-extremities
ψύξις, κακόν.
chill bad

Ἐν γαστρὶ ἐχούσῃ τεινεσμὸς ἐπιγενόμενος ἐκτρῶσαι 27
In belly having tenesmus supervening to-miscarry
ποιέει.
makes

Ὅ τι ἂν ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον ἀποκοπῇ ἐν τῷ 28
What — — bone or cartilage or sinew be-cut-off in the
σώματι, οὔτε αὔξεται, οὔτε συμφύεται.
body neither grows nor grows-together

Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἐπιγένηται 29
If by white phlegm to-one-held diarrhea supervene
ἰσχυρὴ, λύει τὴν νοῦσον.
strong it-resolves the disease

Ὁκόσοισιν ἀφρώδεα τὰ διαχωρήματα ἐν τῇσι 30
To-whom frothy the stools in the
διαῤῥοίῃσι, τουτέοισιν ἀπὸ τῆς κεφαλῆς ταῦτα
diarrheas to-these from the head these
ἀποκαταῤῥέει.
flow-down

Ὁκόσοισι πυρέσσουσιν ἐν τοῖσιν οὔροισι κριμνώδεες 31
To-whom feverish in the urines like-coarse-meal
αἱ ὑποστάσιες γίνονται, μακρὴν τὴν ἀῤῥωστίην
the sediments become long the illness
σημαίνουσιν.
they-signify

Ὁκόσοισι δὲ χολώδεες αἱ ὑποστάσιες, ἄνωθεν δὲ λεπταὶ, 32
To-whom but bilious the sediments above but thin
ὀξείην τὴν ἀῤῥωστίην σημαίνουσιν.
acute the illness they-signify

Ὁκόσοισι δὲ διεστηκότα τὰ οὖρα γίνεται, τουτέοισι ταραχὴ 33
To-whom but separated the urines become to-these disturbance
ἰσχυρὴ ἐν τῷ σώματί ἐστιν.
strong in the body is

34 Ὁκόσοισι δὲ ἐπὶ τοῖσιν οὔροισιν ἐφίστανται πομφόλυγες,
To-whom but on the urines stand bubbles
νεφριτικὰ σημαίνουσι, καὶ μακρὴν τὴν ἀῤῥωστίην
nephritic(-diseases) they-signify and long the illness
ἔσεσθαι.
to-be

35 Ὁκόσοισι δὲ λιπαρὴ ἡ ἐπίστασις καὶ ἀθρόη, τουτέοισι
To-whom but greasy the scum and in-quantity to-these
νεφριτικὰ καὶ ὀξέα σημαίνει.
nephritic(-diseases) and acute it-signifies

36 Ὁκόσοισι δὲ νεφριτικοῖσιν ἐοῦσι τὰ προειρημένα
To-whom but nephritic being the aforementioned
συμβαίνει σημήϊα, πόνοι τε ὀξέες περὶ τοὺς μύας
befall signs pains and acute about the muscles
τοὺς ῥαχιαίους γίνονται, ἢν μὲν περὶ τοὺς ἔξω
the of-the-spine happen if indeed about the outer
τόπους γίνωνται, ἀπόστημα προσδέχου ἐσόμενον ἔξω·
places they-happen abscess expect to-be outside
ἢν δὲ μᾶλλον οἱ πόνοι πρὸς τοὺς ἔσω τόπους
if but more the pains toward the inner places
γίνωνται, καὶ τὸ ἀπόστημα προσδέχου ἐσόμενον μᾶλλον
happen also the abscess expect to-be more
ἔσω.
inside

37 Ὁκόσοι αἷμα ἐμέουσιν, ἢν μὲν ἄνευ πυρετοῦ, σωτήριον·
As-many-as blood vomit if indeed without fever saving
ἢν δὲ ξὺν πυρετῷ, κακόν· θεραπεύειν δὲ τοῖσι ψυκτικοῖσι
if but with fever bad to-treat and with-the cooling
καὶ τοῖσι στυπτικοῖσιν.
and with-the astringent

Κατάῤῥοοι οἱ ἐς τὴν ἄνω κοιλίην ἐκπυέονται ἐν ἡμέρῃσιν 38
Catarrhs the into the upper belly suppurate in days
εἴκοσιν.
twenty

Ἢν οὐρέῃ αἷμα καὶ θρόμβους, καὶ στραγγουρίη ἔχῃ, καὶ 39
If he-urinate blood and clots and strangury have and
ὀδύνη ἐμπίπτῃ ἐς τὸν περίνεον καὶ τὸν κτένα, τὰ περὶ
pain fall into the perineum and the pubes the about
τὴν κύστιν νοσέειν σημαίνει.
the bladder to-be-diseased signifies

Ἢν ἡ γλῶσσα ἐξαίφνης ἀκρατὴς γένηται, ἢ ἀπόπληκτόν 40
If the tongue suddenly powerless become or paralyzed
τι τοῦ σώματος, μελαγχολικὸν τὸ τοιοῦτο
some(-part) of-the body melancholic the such
γίνεται.
is

Ἢν, ὑπερκαθαιρομένων τῶν πρεσβυτέρων, λὺγξ ἐπιγένηται, 41
If being-over-purged the older hiccup supervene
οὐκ ἀγαθόν.
not good

Ἢν πυρετὸς μὴ ἀπὸ χολῆς ἔχῃ, ὕδατος πολλοῦ καὶ 42
If fever not from bile hold water much and
θερμοῦ καταχεομένου κατὰ τῆς κεφαλῆς, λύσις τοῦ
hot poured-down over the head resolution of-the
πυρετοῦ γίνεται.
fever happens

Γυνὴ ἀμφιδέξιος οὐ γίνεται. 43
A-woman ambidextrous not becomes

Ὁκόσοι ἔμπυοι καίονται ἢ τέμνονται, ἢν μὲν 44
As-many-as suppurating are-burned or are-cut if indeed
τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν, περιγίνονται·
the pus pure flow and white they-survive

ἢν δὲ ὕφαιμον καὶ βορβορῶδες καὶ δυσῶδες,
if but bloody and muddy and foul-smelling
ἀπόλλυνται.
they-perish

45 Ὁκόσοι τὸ ἧπαρ διάπυον καίονται ἢ τέμνονται, ἢν μὲν
As-many-as the liver suppurated are-burned or are-cut if indeed
τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν, περιγίγνονται (ἐν
the pus pure flow and white they-survive in
χιτῶνι γὰρ τὸ πῦον τουτέοισίν ἐστιν)· ἢν δὲ οἷον ἀμόργη
membrane for the pus for-these is if but like oil-lees
ῥυῇ, ἀπόλλυνται.
it-flow they-perish

46 Ὀδύνας ὀφθαλμῶν, ἄκρητον ποτίσας καὶ λούσας
Pains of-eyes unmixed(-wine) having-given-to-drink and having-bathed
πολλῷ θερμῷ, φλεβοτόμει.
with-much hot(-water) bleed

47 Ὑδρωπιῶντα ἢν βὴξ ἔχῃ, ἀνέλπιστός ἐστιν.
One-dropsical if cough have hopeless he-is

48 Στραγγουρίην καὶ δυσουρίην θώρηξις καὶ φλεβοτομίη λύει·
Strangury and dysuria strong-drink and venesection resolve
τάμνειν δὲ τὰς ἔσω.
to-cut but the inner(-veins)

49 Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα καὶ ἐρύθημα ἐν τῷ
By quinsy to-one-held swelling and redness on the
στήθει ἐπιγενόμενον, ἀγαθόν· ἔξω γὰρ τρέπεται τὸ
chest supervening good outward for turns the
νούσημα.
illness

Ὁκόσοισιν ἂν σφακελισθῇ ὁ ἐγκέφαλος, ἐν τρισὶν 50
To-whom — be-gangrened the brain in three
ἡμέρῃσιν ἀπόλλυνται· ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες
days perish if but these they-escape healthy
γίνονται.
they-become

Πταρμὸς γίνεται ἐκ τῆς κεφαλῆς, διαθερμαινομένου 51
Sneezing arises from the head being-heated-through
τοῦ ἐγκεφάλου, ἢ διυγραινομένου τοῦ ἐν τῇ
the brain or being-moistened-through the in the
κεφαλῇ κενεοῦ· ὑπερχέεται οὖν ὁ ἀὴρ ὁ ἐνεὼν,
head empty(-space) overflows then the air the within
ψοφέει δὲ, ὅτι διὰ στενοῦ ἡ διέξοδος αὐτοῦ
makes-noise and because through narrow the passage its
ἐστιν.
is

Ὁκόσοι ἦπαρ περιωδυνέουσι, τουτέοισι πυρετὸς ἐπιγενόμενος 52
As-many-as in-liver have-violent-pain to-these fever supervening
λύει τὴν ὀδύνην.
resolves the pain

Ὁκόσοισι ξυμφέρει αἷμα ἀφαιρέεσθαι ἀπὸ τῶν φλεβῶν, 53
To-whom it-is-beneficial blood to-be-taken from the veins
τουτέοισι ξυμφέρει ἦρος φλεβοτομέεσθαι.
to-these it-is-beneficial in-spring to-be-bled

Ὁκόσοισι μεταξὺ τῶν φρενῶν καὶ τῆς γαστρὸς φλέγμα 54
To-whom between the diaphragm and the belly phlegm
ἀποκλείεται, καὶ ὀδύνην παρέχει, οὐκ ἔχον διέξοδον ἐς
is-shut-up and pain causes not having passage into
οὐδετέρην τῶν κοιλιῶν, τουτέοισι, κατὰ τὰς φλέβας ἐς
either of-the cavities to-these through the veins into

τὴν κύστιν τραπέντος τοῦ φλέγματος, λύσις γίνεται τῆς
the bladder having-turned the phlegm resolution happens of-the
νούσου.
disease

55 Ὁκόσοισι δ' ἂν τὸ ἧπαρ ὕδατος πλησθὲν ἐς τὸ ἐπίπλοον
To-whom and — the liver with-water filled into the omentum
ῥαγῇ, τουτέοισιν ἡ κοιλίη ὕδατος ἐμπίπλαται, καὶ
burst for-these the belly with-water is-filled and
ἀποθνήσκουσιν.
they-die

56 Ἀλύκη, χάσμη, φρίκη, οἶνος ἴσος ἴσῳ πινόμενος
Anxiety yawning shivering wine equal with-equal drunk
λύει.
resolves

57 Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα γίνεται, τουτέοισι,
To-whom in the urethra growths arise for-these
διαπυήσαντος καὶ ἐκραγέντος, λύεται ὁ πόνος.
having-suppurated and having-burst is-resolved the pain

58 Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος σεισθῇ ὑπό τινος προφάσιος,
To-whom — the brain be-concussed by some cause
ἀνάγκη ἀφώνους γίνεσθαι παραχρῆμα.
necessity speechless to-become at-once

60 Τοῖσι σώμασι τοῖσιν ὑγρὰς τὰς σάρκας ἔχουσι
To-the bodies the moist the fleshes having
δεῖ λιμὸν ἐμποιέειν· λιμὸς γὰρ ξηραίνει τὰ
one-must hunger to-produce hunger for dries the
σώματα.
bodies

Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν τῇ 59
If by fever to-one-held swelling not being in the
φάρυγγι, πνὶξ ἐξαίφνης ἐπιγένηται, καὶ καταπίνειν μὴ
throat choking suddenly supervene and to-swallow not
δύνηται, ἀλλ᾽ ἢ μόλις, θανάσιμον.
he-can but except hardly deadly

Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐπιστραφῇ, καὶ
If by fever to-one-held the neck be-twisted and
καταπίνειν μὴ δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ
to-swallow not he-can swelling not being in the
τραχήλῳ, θανάσιμον.
neck deadly

Ὅκου ἂν ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ 61
Where — in whole the body changes and
τὸ σῶμα καταψύχηται, καὶ πάλιν θερμαίνηται, ἢ
the body be-chilled and again be-heated or
χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλλῃ, μῆκος νούσου
color one from another change length of-disease
σημαίνει.
signifies

Ἱδρὼς πουλὺς, θερμὸς ἢ ψυχρὸς, ῥέων αἰεὶ, 62
Sweat much hot or cold flowing always
σημαίνει ἔχειν πλησμονὴν ὑγροῦ· ἀπάγειν οὖν
signifies to-have repletion of-moisture to-draw-off then
χρὴ τῷ μὲν ἰσχυρῷ ἄνωθεν, τῷ δὲ ἀσθενεῖ
one-must for-the indeed strong from-above for-the but weak
κάτωθεν.
from-below

63 Οἱ πυρετοὶ οἱ μὴ διαλείποντες, ἢν ἰσχυρότεροι διὰ τρίτης
The fevers the not intermitting if stronger every third(-day)
γίνωνται, ἐπικίνδυνοι· ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσι,
they-become dangerous in-whatever but — manner they-intermit
σημαίνει ὅτι ἀκίνδυνοι.
it-signifies that not-dangerous

64 Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισιν ἢ φύματα, ἢ ἐς
To-whom fevers long to-these either growths or into
τὰ ἄρθρα πόνοι ἐγγίνονται.
the joints pains arise

65 Ὁκόσοισι φύματα ἢ ἐς τὰ ἄρθρα πόνοι ἐκ πυρετῶν
To-whom growths or into the joints pains from fevers
γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.
arise these foods more use

66 Ἤν τις πυρέσσοντι τροφὴν διδῷ, ἢν ὑγιεῖ,
If someone to-one-feverish food give which to-a-healthy
τῷ μὲν ὑγιαίνοντι ἰσχὺς, τῷ δὲ κάμνοντι
to-the indeed healthy strength to-the but sick
νοῦσος.
disease

67 Τὰ διὰ τῆς κύστιος διαχωρέοντα ὁρῆν δεῖ, εἰ
The through the bladder passing to-see one-must whether
οἷα τοῖς ὑγιαίνουσιν ὑποχωρέεται· τὰ ἥκιστα οὖν
such-as in-the healthy is-passed the least then
ὅμοια τουτέοισι, ταῦτα νοσωδέστερα, τὰ δ' ὅμοια τοῖσιν
like to-these these more-diseased the but like to-the
ὑγιαίνουσιν, ἥκιστα νοσερά.
healthy least diseased

68 Καὶ οἷσι τὰ ὑποχωρήματα, ἢν ἐάσῃς στῆναι καὶ μὴ
And to-whom the stools if you-let to-stand and not
κινήσῃς, ὑφίσταται οἱονεὶ ξύσματα, τουτέοισι ξυμφέρει
you-stir settle like scrapings for-these it-is-beneficial

ὑποκαθῆραι τὴν κοιλίην· ἢν δὲ μὴ καθαρὴν ποιήσας
to-purge-gently the belly if but not clean having-made
διδῷς τὰ ῥοφήματα, ὁκόσῳ ἂν πλείω διδῷς, μᾶλλον
you-give the gruels by-how-much — more you-give the-more
βλάψεις.
you-will-harm

Ὁκόσοισιν ἂν κάτω ὠμὰ διαχωρέῃ, ἀπὸ χολῆς 69
To-whom — below raw(-stools) pass from bile
μελαίνης ἐστὶν, ἢν πλείονα, πλείονος, ἢν ἐλάσσονα,
black it-is if more from-more if less
ἐλάσσονος.
from-less

Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι τοῖσι 70
The expectorations the in the fevers the
μὴ διαλείπουσι, πελιδναὶ καὶ αἱματώδεες καὶ
not intermitting livid and bloody and
δυσώδεες, πᾶσαι κακαί· ἀποχωρέουσαι δὲ καλῶς,
foul-smelling all bad passing but well
ἀγαθαὶ, καὶ κατὰ κοιλίην καὶ κύστιν· καὶ ὅκου
good both by belly and bladder and where
ἄν τι ἀποχωρέον στῇ μὴ κεκαθαρμένῳ,
— anything passing stop not for-one-purged
κακόν.
bad

Τὰ σώματα χρὴ, ὅκου τις βούλεται καθαίρεσθαι, εὔροα 71
The bodies one-must where one wishes to-be-purged free-flowing
ποιέειν· κἢν μὲν ἄνω βούλῃ εὔροα ποιέειν, στῆσαι
to-make and-if indeed upward you-wish free-flowing to-make to-check
τὴν κοιλίην· ἢν δὲ κάτω εὔροα ποιέειν, ὑγρῆναι τὴν
the belly if but downward free-flowing to-make to-moisten the
κοιλίην.
belly

72 Ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου
Sleep sleeplessness both more than-the measure
γινόμενα, νοῦσος.
happening disease

73 Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω
In the not intermitting fevers if the indeed outer
ψυχρὰ ᾖ, τὰ δὲ ἔσω καίηται, καὶ πυρετὸς ἔχῃ,
cold be the but inner burn and fever have
θανάσιμον.
deadly

74 Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ῥὶς, ἢ
In not intermitting fever if lip or nose or
ὀφθαλμὸς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ,
eye be-distorted if not he-see if not he-hear
ἤδη ἀσθενὴς ἐὼν, ὅ τι ἂν ᾖ τουτέων τῶν σημείων,
already weak being what — — be of-these the signs
θανάσιμον.
deadly

75 Ἐπὶ λευκῷ φλέγματι ὕδρωψ ἐπιγίνεται.
Upon white phlegm dropsy supervenes

76 Ἐπὶ διαῤῥοίῃ δυσεντερίη.
Upon diarrhea dysentery

77 Ἐπὶ δυσεντερίῃ λειεντερίη.
Upon dysentery lientery

78 Ἐπὶ σφακέλῳ ἀπόστασις ὀστέου.
Upon gangrene coming-away of-bone

79 Ἐπὶ αἵματος ἐμέτῳ φθορὴ, καὶ πύου κάθαρσις ἄνω· ἐπὶ
Upon of-blood vomiting wasting and of-pus purging upward upon
φθορῇ ῥεῦμα ἐκ τῆς κεφαλῆς· ἐπὶ ῥεύματι διάῤῥοια·
wasting flux from the head upon flux diarrhea

ἐπὶ διαῤῥοίῃ σχέσις τῆς ἄνω καθάρσιος· ἐπὶ τῇ σχέσει
upon diarrhea stoppage of-the upward purging upon the stoppage
θάνατος.
death

Ὁκοῖα καὶ ἐν τοῖσι κατὰ τὴν κύστιν, καὶ τοῖσι 81
Such-as also in the by the bladder and the
κατὰ τὴν κοιλίην ὑποχωρήμασι, καὶ ἐν τοῖσι κατὰ
by the belly evacuations and in the by
τὰς σάρκας, καὶ ἤν που ἄλλῃ τῆς φύσιος
the fleshes and if anywhere elsewhere from-the nature
ἐκβαίνῃ τὸ σῶμα, ἢν ὀλίγον, ὀλίγη ἡ νοῦσος γίνεται,
departs the body if little slight the disease becomes
ἢν πουλὺ, πολλὴ, ἢν πάνυ πουλὺ, θανάσιμον τὸ
if much great if very much deadly the
τοιοῦτον.
such

Ὁκόσοι ὑπὲρ τὰ τεσσαράκοντα ἔτεα φρενιτικοὶ γίνονται, 82
As-many-as beyond the forty years phrenitic become
οὐ πάνυ τι ὑγιάζονται· ἧσσον γὰρ κινδυνεύουσιν, οἷσιν
not at-all — are-cured less for are-in-danger to-whom
ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἡλικίης ἡ νοῦσος
— akin to-the nature and to-the age the disease
ᾖ.
be

Ὁκόσοισιν ἐν τῇσιν ἀῤῥωστίῃσιν οἱ ὀφθαλμοὶ κατὰ 83
To-whom in the illnesses the eyes by
προαίρεσιν δακρύουσιν, ἀγαθόν· ὁκόσοισι δὲ ἄνευ
choice weep good to-whom but without
προαιρέσιος, κακόν.
choice bad

84 Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τεταρταίοισιν ἐοῦσιν αἷμα
To-whom in the fevers on-the-fourth being blood
ἐκ τῶν ῥινῶν ῥυῇ, πονηρόν.
from the nostrils flow bad

85 Ἱδρῶτες ἐπικίνδυνοι ἐν τῇσι κρισίμοισιν ἡμέρῃσι μὴ
Sweats dangerous on the critical days not
γινόμενοι, σφοδροί τε καὶ ταχέως ὠθούμενοι ἐκ τοῦ
happening violent both and quickly forced from the
μετώπου, ὥσπερ σταλαγμοὶ καὶ κρουνοὶ, καὶ ψυχροὶ
forehead like drops and streams and cold
σφόδρα καὶ πολλοί· ἀνάγκη γὰρ τὸν τοιοῦτον ἱδρῶτα
very and many necessity for the such sweat
πορεύεσθαι μετὰ βίης, καὶ πόνου ὑπερβολῆς, καὶ ἐκθλίψιος
to-proceed with force and pain excess and squeezing
πολυχρονίου.
long-continued

86 Ἐπὶ χρονίῳ νουσήματι κοιλίης καταφορὴ, κακόν.
Upon chronic illness of-belly flux bad

87 Ὁκόσα φάρμακα οὐκ ἰῆται, σίδηρος ἰῆται· ὅσα σίδηρος
Whatever drugs not cure iron cures whatever iron
οὐκ ἰῆται, πῦρ ἰῆται· ὅσα δὲ πῦρ οὐκ ἰῆται, ταῦτα
not cures fire cures whatever but fire not cures these
χρὴ νομίζειν ἀνίατα.
one-must to-consider incurable

HIPPOCRATES

ΠΑΡΑΓΓΕΛΙΑΙ

Precepts

ΠΑΡΑΓΓΕΛΙΑΙ

PRACTICE, FEES, AND CONSULTATION

Medicine is learned by practice joined to reasoning that starts from what is seen, not from plausible theory, and a physician may ask even laymen what helps. He should not begin with fees, which make the patient fear neglect, and should sometimes treat for nothing, for where there is love of man there is love of the art. A physician at a loss should call in others without shame, and physicians should never quarrel. Avoid luxurious headgear, elaborate scent, and lectures quoting the poets, and prefer practice to doctrine. Short notes close on regimen, fear and joy, and speech.

Χρόνος ἐστὶν ἐν ᾧ καιρὸς, καὶ καιρὸς ἐν ᾧ χρόνος 1
Time is in which opportunity and opportunity in which time
οὐ πολύς· ἄκεσις χρόνῳ, ἔστι δὲ ἡνίκα καὶ καιρῷ.
not much healing by-time there-is and when also by-opportunity
Δεῖ γε μὴν ταῦτα εἰδότα μὴ λογισμῷ πρότερον
One-must at-least however these knowing not to-reasoning first
πιθανῷ προσέχοντα ἰητρεύειν, ἀλλὰ τριβῇ μετὰ λόγου.
plausible attending to-treat but by-practice with reason
Ὁ γὰρ λογισμὸς μνήμη τίς ἐστι ξυνθετικὴ τῶν
The for reasoning memory a-kind-of is combining of-the-things
μετ᾽ αἰσθήσιος ληφθέντων· ἐφαντασιώθη γὰρ ἐναργέως ἡ
with perception grasped received-images for vividly the
αἴσθησις προπαθὴς καὶ ἀναπομπὸς ἐοῦσα εἰς διάνοιαν
perception first-affected and conveying being to understanding
τῶν ὑποκειμένων· ἡ δὲ παραδεξαμένη πολλάκις, οἷς, ὅτε,
of-the underlying(-things) it and having-received often by-which when
ὁκοίως τηρήσασα, καὶ ἐς ἑωυτὴν καταθεμένη, ἐμνημόνευσεν.
how having-observed and into itself having-stored remembered
Ξυγκαταινέω μὲν οὖν καὶ τὸν λογισμὸν, ἤνπερ ἐκ
I-approve indeed then also the reasoning if-indeed from
περιπτώσιος ποιῆται τὴν ἀρχὴν, καὶ τὴν καταφορὴν
incidence it-make the beginning and the deduction

ἐκ τῶν φαινομένων μεθοδεύῃ· ἐκ γὰρ τῶν ἐναργέως
from the phenomena it-pursue from for the-things vividly
ἐπιτελεομένων ἢν τὴν ἀρχὴν ποιήσηται ὁ λογισμὸς, ἐν
accomplished if the beginning make the reasoning in
διανοίης δυνάμει ὑπάρχων εὑρίσκεται, παραδεχομένης
of-understanding power being is-found receiving
αὐτῆς ἕκαστα παρ᾽ ἄλλων. Ὑποληπτέον οὖν τὴν φύσιν
it each-thing from others One-must-suppose then the nature
ὑπὸ τῶν πολλῶν καὶ παντοίων πρηγμάτων κινηθῆναί τε
by the many and various things to-be-moved both
καὶ διδαχθῆναι, βίης ὑπεούσης· ἡ δὲ διάνοια παρ᾽ αὐτῆς
and to-be-taught force underlying the and understanding from it
λαβοῦσα, ὡς προεῖπον, ὕστερον εἰς ἀληθείην ἤγαγεν· εἰ δὲ
having-taken as I-said-before later into truth led if but
μὴ ἐξ ἐναργέος ἐφόδου, ἐκ δὲ πιθανῆς ἀναπλάσιος λόγου,
not from vivid approach from but plausible fiction of-reason
πολλάκις βαρείην καὶ ἀνιηρὴν ἐπήνεγκε διάθεσιν. Οὗτοι δὲ
often grievous and painful it-brought condition These and
ἀνοδίην χειρίζουσι· τί γὰρ ἂν ἦν κακὸν, ἢν τὰ ἐπίχειρα
pathlessness handle what for — would-be bad if the wages
ἐκομίζοντο οἱ τὰ τῆς ἰητρικῆς ἔργα κακῶς δημιουργέοντες;
received those the of-the medicine works badly practicing
νῦν δὲ τοῖσιν ἀναιτίοισιν ἐοῦσι τῶν καμνόντων, ὁκόσοισιν οὐχ
now but to-the blameless being of-the sick to-as-many-as not
ἱκανὴ ἐφαίνετο ἐοῦσα τοῦ νοσέειν βίη, εἰ μὴ ξυνέλθοι τῇ τοῦ
sufficient appeared being of-the being-ill force if not it-should-join to-the of-the
ἰητροῦ ἀπειρίῃ. Περὶ μὲν οὖν τουτέων ἅλις ἔστω διειλεγμένα.
physician inexperience About indeed then these enough let-be discussed

2 Τῶν δ᾽ ὡς λόγου μόνου ξυμπεραινομένων μὴ εἴη
Of-the-things but as by-reason alone concluded not may-it-be
ἐπαύρασθαι, τῶν δὲ ὡς ἔργου ἐνδείξιος· σφαλερὴ γὰρ καὶ
to-reap of-those but as of-work demonstration perilous for and

εὔπταιστος ἡ μετ᾽ ἀδολεσχίης ἰσχύρισις. Διὸ καὶ καθόλου
stumbling the with prating assertion Therefore also generally
δεῖ ἔχεσθαι τῶν γινομένων, καὶ περὶ ταῦτα μὴ ἐλαχίστως
one-must to-hold-to the facts and about these not least
γίγνεσθαι, ἢν μέλλῃ ἕξειν ῥηϊδίην καὶ ἀναμάρτητον ἕξιν,
to-be-occupied if one-is-going to-have easy and unerring habit
ἣν δὴ ἰητρικὴν προσαγορεύομεν. Κάρτα γὰρ μεγάλην
which indeed medicine we-call Very for great
ὠφελίην περιποιήσει τοῖσί γε νοσέουσι καὶ τοῖσι τουτέων
benefit it-will-procure to-the at-least sick and to-the of-these
δημιουργοῖσιν. Μὴ ὀκνέειν δὲ καὶ παρὰ ἰδιωτέων ἱστορέειν,
practitioners Not to-hesitate and even from laymen to-inquire
ἤν τι δοκέῃ συνοίσειν εἰς καιρὸν θεραπείης. Οὕτω
if anything seem to-be-useful to occasion of-treatment So
γὰρ δοκέω τὴν ξύμπασαν τέχνην ἀναδειχθῆναι, διὰ
for I-think the whole art to-have-been-shown because-of
τὸ ἐξ ἑκάστου τοῦ τέλους τηρηθῆναι καὶ εἰς ταὐτὸ
the from each the end to-have-been-observed and into the-same
ξυναλισθῆναι. Προσέχειν οὖν δεῖ περιπτώσει τῇ ὡς
to-have-been-gathered To-attend then one-must to-incidence the as
ἐπιτοπολὺ, καὶ μετ᾽ ὠφελίης καὶ ἠρεμαιότητος μᾶλλον ἢ
for-the-most-part both with benefit and calmness rather than
ἐπαγγελίης καὶ ἀπολογίης τῆς μετὰ πρήξιας.
promise and excuse the after action
Χρήσιμος δὲ καὶ ποικίλος τῶν προσφερομένων τῷ νοσέοντι 3
Useful and also various of-the things-administered to-the patient
καὶ ὁ προορισμὸς, ὅτι μόνον τι προσενεχθὲν ὠφελήσει·
also the prescription that only something administered will-help
οὐ γὰρ ἰσχυρίσιος δεῖ· πάντα γὰρ τὰ πάθη διὰ
not for of-assertion there-is-need all for the affections because-of
πολλὰς περιστάσιας καὶ μεταβολὰς μονῇ τινὶ προσκαθίζει.
many circumstances and changes in-persistence some settle

4 Παραινέσιος δ' ἂν καὶ τοῦτο ἐπιδεηθείη τῆς θεωρίης· εἰ
Of-exhortation and — also this would-need the consideration if
γὰρ ἄρξαιο παρὰ μισθαρίων, ξυμβάλλει γάρ τι
for you-should-begin from fees it-contributes for something
καὶ τῷ ξύμπαντι, τῷ μὲν ἀλγέοντι τοιαύτην διανόησιν
also to-the whole in-the indeed sufferer such thought
ἐμποιήσεις τὴν ὅτι ἀπολιπὼν αὐτὸν πορεύσῃ μὴ ξυνθέμενος,
you-will-produce the that having-left him you-will-go not having-agreed
ἢ ὅτι ἀμελήσεις, καὶ οὐχ ὑποθήσεις τινὰ τῷ παρεόντι.
or that you-will-neglect and not you-will-prescribe anything for-the present
Ἐπιμελεῖσθαι οὖν οὐ δεῖ περὶ στάσιος μισθοῦ· ἄχρηστον
To-be-concerned then not one-must about fixing of-fee useless
γὰρ ἡγεύμεθα ἐνθύμησιν ὀχλεομένῳ τὴν τοιαύτην, πουλὺ δὲ
for we-consider worry to-one-troubled the such much and
μᾶλλον ἐν ὀξεῖ νοσήματι· νόσου γὰρ ταχύτης καιρὸν μὴ
more in acute illness of-disease for quickness opportunity not
διδοῦσα ἐς ἀναστροφὴν οὐκ ἐποτρύνει τὸν καλῶς ἰητρεύοντα
giving for turning-back not urges the well treating
ζητεῖν τὸ λυσιτελὲς, ἔχεσθαι δὲ δόξης μᾶλλον· κρέσσον οὖν
to-seek the profitable to-hold-to but reputation rather better then
σωζομένοισιν ὀνειδίζειν ἢ ὀλεθρίως ἔχοντας προμύσσειν.
to-those-being-saved to-reproach than fatally being to-fleece-beforehand
5 Καί τοι ἔνιοι νοσέοντες ἀλλάσσουσι, τὸ ξενοπρεπὲς καὶ τὸ
And yet some patients change the strange and the
ἄδηλον προκρίνοντες, ἄξιοι μὲν ἀμελίης, οὐ μέντοι γε
uncertain preferring worthy indeed of-neglect not however at-least
κολάσιος· διὸ τουτέοισιν ἀντιτάξῃ εἰκότως μεταβολῆς ἐπὶ
of-punishment therefore to-these you-will-oppose reasonably of-change on
σάλου πορευομένοισιν. Τίς γὰρ ὦ πρὸς Διὸς ἠδελφισμένος
tossing-sea traveling Who for O by Zeus akin
ἰητρὸς ἰητρεύειν πεισθείη ἀτεραμνίῃ; ὥστ' ἐν ἀρχῇ
physician to-treat would-be-persuaded with-harshness so-that at beginning

ἀνακρίνοντα πᾶν πάθος μὴ οὐχ ὑποθέσθαι τινὰ ξυμφέροντα ἐς
examining every affection not — to-prescribe some beneficial(-things) for
θεραπηΐην, ἀποθεραπεῦσαί τε τὸν νοσέοντα καὶ μὴ παριδεῖν.
treatment to-cure both the patient and not to-overlook
Τῆς δ' ἐπικαρπίης, μὴ ἄνευ τῆς ἐπισκευαζούσης 6
Of-the and profit not without the preparing
πρὸς μάθησιν ἐπιθυμίης. Παρακελεύομαι δὲ μὴ λίην
for learning desire I-urge and not too-much
ἀπανθρωπίην εἰσάγειν, ἀλλ' ἀποβλέπειν ἔς γε περιουσίην
inhumanity to-introduce but to-look to at-least abundance
καὶ οὐσίην· ὁτὲ δὲ προῖκα, ἀναφέρων μνήμην εὐχαριστίης
and substance at-times and free referring memory of-gratitude
προτέρην ἢ παρεοῦσαν εὐδοκίην. Ἢν δὲ καιρὸς εἴη
earlier or present reputation If and occasion be
χορηγίης ξένῳ τε ἐόντι καὶ ἀπορέοντι, μάλιστα
of-supplying to-a-stranger both being and being-poor most
ἐπαρκέειν τοῖσι τοιουτέοισιν· ἢν γὰρ παρῇ φιλανθρωπίη,
to-help to-the such(-ones) if for be-present love-of-man
πάρεστι καὶ φιλοτεχνίη. Ἔνιοι γὰρ νοσέοντες ᾐσθημένοι
is-present also love-of-art Some for patients having-perceived
τὸ περὶ ἑωυτοὺς πάθος μὴ ἐὸν ἐν ἀσφαλείῃ, καὶ τῇ
the about themselves affection not being in safety and with-the
τοῦ ἰητροῦ ἐπιεικείῃ εὐδοκέοντες, μεταλλάσσονται ἐς
of-the physician kindness being-content change to
ὑγιείην. Εὖ δ' ἔχει νοσεόντων μὲν ἐπιστατέειν, ἕνεκεν
health Well and it-is of-patients indeed to-take-charge for-the-sake
ὑγιείης· ὑγιαινόντων δὲ φροντίζειν, ἕνεκεν ἀνοσίης·
of-health of-the-healthy and to-take-care for-the-sake of-freedom-from-disease
φροντίζειν καὶ ὑγιαινόντων, ἕνεκεν εὐσχημοσύνης.
to-take-care also of-the-healthy for-the-sake of-decorum

7 Οἱ μὲν οὖν ἐόντες ἐν βυθῷ ἀτεχνίης τῶν προλελεγμένων
Those indeed then being in depth of-unskill of-the things-said-before
οὐκ ἂν αἰσθάνοιντο. Καὶ γὰρ οὗτοι ἀνίητροι ἐόντες,
not — would-perceive And for these unphysicianly being
ἐλέγχῃ, ἐκ ποδὸς ὑψεύμενοι, τύχης γε μὴν δεόμενοι,
refutations from foot being-exalted of-fortune at-least however needing
ὑπό τινων εὐπόρων καὶ ἀσθενῶν ἔνδοσιν ἀναλαμβανόντων
by some well-off and weak remission receiving
ἑκάτερῃ ἐπιτυχίῃ εὐδοκιμέουσι, καὶ διαπιπτόντων ἐπὶ
in-either success are-esteemed and failing toward
τὸ χεῖρον, καταχλιδεῦσι καταμεμεληκότες τὰ τῆς τέχνης
the worse they-swagger having-neglected the of-the art
ἀνυπεύθυνα· ἐφ' οἷς ἂν ἰητρὸς ἀγαθὸς ἀκμάζοι
unaccountable(-things) in which — physician good would-flourish
ὁμότεχνος καλεόμενος· ὁ δὲ τὰς ἀκέσιας ἀναμαρτήτους
fellow-craftsman called he but the cures unerring
ῥηϊδίως ἐπιτελέων οὐθὲν ἂν τουτέων παραβαίη, οὐ πάντη
easily accomplishing nothing — of-these would-transgress not wholly
σπάνει τοῦ δύνασθαι· οὐ γὰρ ἄπιστός ἐστιν ὡς ἐν ἀδικίῃ.
through-lack of-the being-able not for untrustworthy is as in injustice
Πρὸς γὰρ θεραπηΐην οὐ γίνονται, σκοπέοντες διάθεσιν
To for treatment not they-come observing condition
φθινώδεα, φυλασσόμενοι ἑτέρων ἰητρῶν ἐπεισαγωγὴν,
consumptive guarding-against other physicians' introduction
ἐνόντες ἐν μισοπονηρίῃ βοηθήσιος. Οἵ τε νοσέοντες
being in hatred of-help The and patients
ἀνιέμενοι νήχονται ἐπὶ ἑκατέρῃ μοχθηρίῃ μὴ ἐγκεχειρικότες
being-relaxed swim in either wretchedness not having-entrusted
ἑωυτοὺς ἕως τέλους τῇ ἐν τῇ τέχνῃ πλείονι θεραπηΐῃ·
themselves until end to-the in the art fuller treatment
ἄνεσις γάρ νούσου τινὸς κάμνοντι παρέχει μεγάλην
remission for of-disease some to-the-sick gives great

ἀλεωρήν· διὸ δεόμενοι τὴν ὑγιεινὴν διάθεσιν, οὐκ
relief therefore needing the healthy condition not
ἐθέλουσι τὴν αὐτὴν χρῆσιν αἰεὶ προσδέχεσθαι, μὴ νοέοντες
they-wish the same use always to-accept not understanding
ἰητροῦ ποικιλίην. Πολυτελεῖς γὰρ ἀπορέουσιν ἐόντες,
physician's variety Extravagant for they-are-in-want being
κακοτροπίῃ προσκυρεῦντες καὶ ἀχαριστέοντες ξυντυχεῖν,
with-perversity meeting and being-ungrateful to-succeed
δυνατοὶ ἐόντες εὐπορέειν, διαντλίζονται περὶ μισθαρίων,
able being to-be-rich they-baggle about fees
ἀτρεκέως ἐθέλοντες ὑγιέες εἶναι εἵνεκεν ἐργασίης τόκων
exactly wishing healthy to-be for-the-sake of-business of-interest
ἢ γεωργίης, ἀφροντιστέοντες μὴ ὑπὲρ αὐτέων λαμβάνειν.
or of-farming not-caring not for them to-take
Περὶ σημασίης τοιαύτης ἅλις ἔστω· ἄνεσις γὰρ καὶ ἐπίτασις 8
About indication such enough let-it-be remission for and intensification
νοσέοντος ἐπινέμησιν ἰητρικὴν κέχρηνται. Οὐκ ἄσχημον
of-patient distribution medical require Not unseemly
δὲ, οὐδ' ἤν τις ἰητρὸς στενοχωρέων τῷ παρεόντι ἐπί
and not-even if some physician being-at-a-loss in-the present at
τινι νοσέοντι καὶ ἐπισκοτεόμενος τῇ ἀπειρίῃ κελεύῃ καὶ
some patient and being-darkened by-the inexperience bid also
ἑτέρους εἰσάγειν εἵνεκα τοῦ ἐκ κοινολογίης ἱστορῆσαι τὰ
others to-bring-in for-the-sake of-the from consultation to-learn the
περὶ τὸν νοσέοντα, καὶ συνεργοὺς γενέσθαι ἐς εὐπορίην
about the patient and fellow-workers to-become toward abundance
βοηθήσιος. Ἐν γὰρ κακοπαθείης παρεδρίῃ, ἐπιτείνοντος
of-help In for of-distress persistence intensifying
τοῦ πάθεος, δι' ἀπορίην τὰ πλεῖστα ἐκκλίνουσι τῷ
the affection because-of perplexity the most they-turn-aside from-the
παρεόντι· θαῤῥητέον οὖν ἐν καιρῷ τοιουτέῳ· οὐδέποτε
present one-must-be-confident then in occasion such never

γὰρ ἐγὼ τὸ τοιοῦτο ὁριεῦμαι, ὅτι ἡ τέχνη κέκριται περὶ
for I the such will-define that the art has-been-judged about
τουτέου. Μηδέποτε φιλονεικέειν προσκυρέοντας ἀλλήλοισι
this Never to-quarrel meeting one-another
καὶ κατασιλλαίνειν· ὃ γὰρ ἂν μεθ' ὅρκου ἐρέω, οὐδέποτε
and to-mock which for — with oath I-will-say never
ἰητροῦ λογισμὸς φθονήσειεν ἂν ἑτέρῳ, ἀκιδνὸς γὰρ
of-physician reasoning would-envy — another feeble for
ἂν φανείη· ἀλλὰ μᾶλλόν οἱ ἀγχιστεύοντες ἀγοραίης
— it-would-appear but rather those bordering-on of-marketplace
ἐργασίης πρήσσουσι ταῦτα εὐμαρέως. Καίτοι γε οὐδὲ
trade do these easily And-yet at-least not-even
ψευδέως κατανενόηται· πάσῃ γὰρ εὐπορίῃ ἀπορίη ἔνεστι.
falsely it-has-been-observed in-all for abundance want is-in
9 Μετὰ τουτέων δὲ πάντων μέγα ἂν τεκμήριον φανείη
With these and all great — evidence would-appear
ξὺν τῇ οὐσίῃ τῆς τέχνης, εἴ τις καλῶς ἰητρεύων
with the substance of-the art if someone well treating
προσαγορεύσιος τοιαύτης μὴ ἀποσταίη, κελεύων τοῖσι
address such not should-desist bidding the
νοσέουσι μηδὲν ὀχλεῖσθαι κατὰ διάνοιαν, ἐν τῷ σπεύδειν
patients not-at-all to-be-troubled in mind in the hastening
ἀφικέσθαι ἐς καιρὸν σωτηρίης. Ἡγεύμεθα γὰρ ἃ χρὴ
to-arrive at moment of-safety We-lead for what is-needed
ἐς τὴν ὑγιείην, καὶ προστασσόμενος γε οὐ διαμαρτήσει.
for the health and being-commanded at-least not he-will-fail
Αὐτοὶ μὲν γὰρ οἱ νοσέοντες διὰ τὴν ἀλγεινὴν διάθεσιν
Themselves indeed for the patients because-of the painful condition
ἀπαυδέοντες ἑωυτούς τε μεταλλάσσουσι τῆς ζωῆς· ὁ δ'
giving-up themselves and depart from-the life he but
ἐγκεχειρισμένος τὸν νοσέοντα, ἐὰν ἀποδείξῃ τὰ τῆς τέχνης
having-been-entrusted the patient if he-display the of-the art

ἐξευρήματα, σώζων οὐκ ἀλλοιῶν φύσιν, ἀποίσει τὴν
discoveries preserving not altering nature he-will-remove the
παρεοῦσαν πικρίην ἢ τὴν παραυτίκα ἀπιστίην. Ἡ γὰρ τοῦ
present bitterness or the immediate distrust The for of-the
ἀνθρώπου εὐεξίη φύσις τίς ἐστι φύσει περιπεποιημένη
man good-condition nature a-kind-of is by-nature having-acquired
κίνησιν οὐκ ἀλλοτρίην, ἀλλὰ λίην γε εὐαρμοστεῦσαν,
motion not foreign but very at-least well-harmonizing
πνεύματί τε καὶ θερμασίῃ καὶ χυμῶν κατεργασίῃ, πάντη
with-breath both and with-heat and of-humors with-concoction in-every-way
τε καὶ πάσῃ διαίτῃ καὶ τοῖσι ξύμπασι δεδημιουργημένη,
both and in-all regimen and in-the whole fashioned
ἢν μή τι ἐκ γενετῆς ἢ ἀπ᾽ ἀρχῆς ἔλλειμμα ᾖ· ἢν δὲ
if not some from birth or from beginning defect be if and
γένηταί τι, ἐξιτήλου ἐόντος, πειρᾶσθαι ἐξομοιοῦν τῇ
happen something of-fading being to-try to-assimilate to-the
ὑποκειμένῃ· παρὰ γὰρ φύσιν τὸ μινύθημα καὶ διὰ χρόνου.
underlying beyond for nature the wasting also after time
Φευκτέη δὲ καὶ θρύψις ἐπικρατίδων διὰ προσκύρησιν 10
To-be-avoided and also luxury of-headgear for attaining
ἀκέσιος, ὀδμή τε περίεργος· διὰ γὰρ ἱκανὴν ἀξυνηθείην
of-healing scent and elaborate because-of for great strangeness
διαβολὴν κέκτησαι, διὰ δὲ τὴν ὀλίγην, εὐσχημοσύνην·
ill-repute you-have-acquired because-of but the little decorum
ἐν γὰρ μέρει πόνος ὀλίγος, ἐν πᾶσι ἱκανός. Εὐχαριστίην
in for part pain little in all great Gracefulness
δὲ οὐ περιαιρέω· ἀξίη γὰρ ἰητρικῆς προστασίης.
but not I-take-away worthy for of-medical office
Προσθέσιος δὲ δι᾽ ὀργάνων καὶ σημαντικῶν ἐπιδείξιος, καὶ 11
Of-application and by instruments and of-indicative demonstration and
τῶν τοιουτοτρόπων μνήμην παρεῖναι.
of-the such-kinds memory to-be-present

12 Ἢν δὲ καὶ εἵνεκα ὁμίλου θέλῃς ἀκρόασιν ποιήσασθαι,
If and also for-the-sake of-a-crowd you-wish a-lecture to-give
οὐκ ἀγακλεῶς ἐπιθυμέεις, μὴ μέντοι γε μετὰ μαρτυρίης
not gloriously you-desire not however at-least with testimony
ποιητικῆς· ἀδυναμίην γὰρ ἐμφαίνει φιλοπονίη· ἀπαρνέομαι
poetic incapacity for it-shows industry I-renounce
γὰρ εἰς χρῆσιν ἑτέρην φιλοπονίην μετὰ πόνου ἱστοριευμένην,
for for use other industry with toil inquired
διὸ ἐν ἑωυτῇ μούνῃ αἵρεσιν ἔχουσαν χαρίεσσαν· περιποιήσῃ
therefore in itself alone choice having graceful you-will-procure
γὰρ κηφῆνος μετὰ παραπομπῆς ματαιοκοπίην.
for of-drone with escort vain-labor

13 Εὐκτέη δὲ καὶ διάθεσις ἐκτὸς ἐοῦσα ὀψιμαθίης·
To-be-prayed-for and also condition outside being of-late-learning
παρεόντων μὲν οὐδὲν ἐπιτελέει· ἀπεόντων δὲ μνήμη ἀνεκτή.
of-present(-things) indeed nothing it-accomplishes of-absent but memory tolerable
Γίνεται τοίνυν πάμμαχος ἀτυχίη, μετὰ λύμης νεαρῆς,
There-arises then all-fighting misfortune with outrage fresh
ἀφροντιστεῦσα εὐπρεπίης, ὁρισμοῖς τε καὶ ἐπαγγελίῃσιν
not-caring for-seemliness with-definitions both and with-promises
ὅρκοις τε παμμεγέθεσι, θεῶν εἵνεκεν, ἰητροῦ προστατέοντος
oaths and enormous of-gods for-the-sake of-physician presiding
νόσου, ἀναγνώσιος ξυνεχείης, κατηχήσιός τε ἰδιωτέων
of-disease of-reading of-continuity of-instruction and of-laymen
φιλαλυστέων λόγους ἐκ μεταφορῆς διαζηλευομένου, καὶ
restless words from transference emulating and
πρινὴ νούσῳ καταπορέωσιν ἠθροισμένοι. Τῶν μὲν οὖν
before disease they-be-at-a-loss gathered Of-the indeed then
τοιουτέων ὅποι ἂν καὶ ἐπιστατήσαιμι, οὐκ ἂν ἐπὶ θεραπηΐης
such wherever — even I-should-preside not — at of-treatment
ξυλλόγου αἰτήσαιμι ἂν θαρσαλέως βοηθεῖν· ἱστορίης γὰρ
consultation I-would-ask — boldly to-help of-inquiry for

εὐσχήμονος σύνεσις ἐν τουτέοισι διεφθαρμένη. Τουτέων
seemly understanding in these corrupted These
οὖν δι᾽ ἀνάγκην ἀξυνέτων ἐόντων, παρακελεύομαι χρησίμην
then by necessity unintelligent being I-urge useful
εἶναι τὴν τριβὴν, μὴ τὴν τήρησιν δογμάτων ἱστορίης. Τίς
to-be the practice not the observance of-doctrines of-inquiry Who
γὰρ ἐπιθυμεῖ δογμάτων πολυσχιδίην ἀτρεκέως ἱστορέειν, μή
for desires of-doctrines many-branchedness exactly to-inquire not
γε χειροτριβίης ἀτρεμεότητι; διὸ παραινέω τουτέοισι
at-least of-practice by-steadiness therefore I-advise to-these
λέγουσι μὲν προσέχειν, ποιέουσι δὲ ἐγκόπτειν.
speaking indeed to-attend doing but to-hinder
Ξυνεσταλμένης διαίτης, μὴ μακρὴν ἐγχειρέειν· τοῦ κάμνοντος 14
Restricted regimen not long to-undertake of-the sick-man
χρονίη ἡ ἐπιθυμίη· ἀνίστησι καὶ ξυγχωρίη ἐν χρονίῃ
long-lasting the desire raises-up and indulgence in chronic
νούσῳ, ἤν τις προσέχῃ τυφλῷ τὸ δέον. Ὡς μέγας φόβος
disease if someone attend to-a-blind the needful As great fear
φυλακτέος, καὶ χάρας δεινότης. Ἠέρος αἰφνιδίη ταραχὴ
to-be-guarded-against also of-joy intensity Of-air sudden disturbance
φυλακτέη. Ἀκμὴ ἡλικίης πάντα ἔχει χαρίεντα, ἀπόληξις
to-be-guarded-against Prime of-age all has graceful decline
δὲ τοὐναντίον. Ἀσαφίη δὲ γλώττης γίνεται ἢ διὰ
but the-contrary Indistinctness and of-tongue arises either because-of
πάθος, ἢ διὰ τὰ οὔατα, πρίν τε πρότερα ἐξαγγεῖλαι,
affection or through the ears before and former-things to-announce
ἕτερα ἐπιλαλεῖν, ἢ πρὶν τὸ διανενοημένον εἰπεῖν, ἕτερα
other-things to-speak-upon or before the thought to-say other-things
ἐπιδιανοεῖσθαι· τὸ μὲν ἄνευ πάθους ὁρατοῦ λελεγμένου
to-think-besides this indeed without affection visible having-been-said
μάλιστα ξυμβαίνει φιλοτεχνοῦσιν. Ἡλικίης, σμικροῦ ἐόντος
most happens to-the-art-lovers Of-age small being

τοῦ ὑποκειμένου, δύναμις ἐνίοτε πάμπουλυς. Νούσου ἀταξίη
the underlying power sometimes very-great Of-disease disorder
μῆκος σημαίνει· κρίσις δὲ ἀπόλυσις νούσου. Μικρὴ αἰτίη
length signifies crisis and release of-disease Small cause
ἄκεσι λύεται, ἢν μή τι περὶ τόπον καίριον πάθῃ.
by-remedies is-resolved if not anything about place vital suffer
Διότι ξυμπάθησις ὑπὸ λύπης ἐοῦσα ὀχλέει, ἐξ ἑτέρου
Because sympathy from grief being troubles from another's
συμπαθείης τινὲς ὀχλεῦνται. Καταύδησις λυπέει. Φιλοπονίης
sympathy some are-troubled Incantation gives-pain Of-industry
κρατερῆς ὕπο, παραίνεσις, ἀλέα, ᾠδὴ, τόπος ὀνησιφόρος.
strong from exhortation warmth song place beneficial
